τὸ πλῆθος Ἵππαρχον οἴονται ὑρ' Ἁρμοδίου καὶ Ἀριστογείτονος τύραννον ὄντα ἀποθανεῖν καὶ οὐκ ἴσασιν ὅτι Ἱππίας μὲν πρεσβύτατος ὢν ἦρχε τῶν Πεισιστράτου υἱέων, Ἵππαρχος δὲ καὶ Θεσσαλὸς ἀδελφοὶ ἦσαν αὐτοῦ, ὑποτοπήσαντές δέ τι ἐκείνῃ τῇ ἡμέρᾳ καὶ παραχρῆμα Ἁρμόδιος καὶ Ἀριστογείτων ἐκ τῶν ξυνειδότων σφίσιν Ἱππίᾳ μεμηνῦσθαι τοῦ μὲν ἀπέσχοντο ὡς προειδότος, βουλόμενοι δὲ πρὶν ξυλληφθῆναι δράσαντές τι καὶ κινδυνεῦσαι, τῷ Ἱππάρχῳ περιτυχόντες περὶ τὸ Λεωκόριον καλούμενον τὴν Παναθηναϊκὴν πομπὴν δια-

Α', 2, 5).—*Ἵππαρχον*] περὶ τούτων ὁ Θουκυδίδης ἐκτενῶς ἀλλαχοῦ ποιεῖται λόγον (ὅρα Ϛ', 54—58). Περὶ τοῦ *Ἱππάρχου* ὡς πρεσβυτάτου τῶν τέκνων τοῦ Πεισιστράτου καὶ τυράννου τῶν Ἀθηνῶν διηγεῖται καὶ ὁ Πλάτων ἢ Ψευδοπλάτων (Ἱππαρχ. σ. 228, 6—γ') καὶ ὁ Αἰλιανὸς (Ποικ. Ἱστορ. Η', 2) καὶ Ἡρακλείδης (περὶ Πολιτ. α'), τοὐναντίον δὲ ὁ Ἀριστοτέλης (Ἀθην. Πολιτ. 18) συμφωνεῖ μὲν τῷ Θουκυδίδῃ περὶ τοῦ Ἱππίου, ὡς πρεσβυτάτου ὄντος καὶ τυραννεύοντος, διαφωνεῖ δὲ αὐτῷ δεχόμενος καὶ τέταρτον υἱὸν τὸν *Ἰοφῶντα* καὶ ὅτι ὁ *Θεσσαλὸς* ἐκαλεῖτο «*Ἡγησίστρατος, ᾧ παρωνύμιον ἦν Θεττα*λός» (Ἀριστοτ. Ἀθην. Πολιτ. 17) καὶ ὅτι ἠράσθη τοῦ Ἁρμοδίου οὐχὶ ὁ Ἵππαρχος (Θουκ. Ϛ', 54), ἀλλ' ὁ Θεσσαλός (Ἀριστοτ. Ἀθην. Πολ. 18).—*οἴονται*] εἰς πληθυντ. διὰ τὸ περιληπτικὸν *πλῆθος*. — *τύραννον*] αὕτη εἶναι ἡ οὐσιώδης λέξις, ἐφ' ἧς ὁ Θουκυδ. στηρίζει τὴν ἑαυτοῦ παρατήρησιν καὶ οὐχὶ τὸ *ἀποθανεῖν* (= φονευθῆναι), διότι ὁ Ἵππαρχος ὄντως ἐφονεύθη ὑπ' αὐτῶν ἀλλ' οὐχὶ καὶ *τύραννος ὤν*. — *πρεσβύτατος ὤν*] = διὰ τὸ πρεσβύτατος εἶναι. — *τῶν Πεισιστράτου υἱέων ... αὐτοῦ*] ὁ Κόβητος ὀβελίζει τὰς λέξεις ταύτας (Mnemos. XI, σ. 344). Τὸ «*τῶν Πεισιστράτου υἱέων*» συναπτέον τῷ *πρεσβύτατος*. — *ἦρχε*] = ἐτυράννει. — *ὑποτοπήσαντες*] = ὑπονοήσαντες, ὑπολαβόντες (Σχολ.), εἶναι δὲ τὸ ῥῆμα παρὰ Θουκυδίδῃ μόνον κατ' ἀόρ. εὔχρηστον (ὅρα Γ. Ζηκίδ. Λεξ. Ἀττ. Ῥημ. σ. 509).—*ἐκείνῃ τῇ ἡμέρᾳ*]=ἐν ἐκείνῃ τῇ ἡμέρᾳ τῇ διὰ τὸν φόνον τῶν τυράννων ὁρισθείσῃ. — *καὶ παραχρῆμα*] συναπτέον τῷ «*ἐκείνῃ τῇ ἡμέρᾳ*» =καὶ ἐν αὐτῷ τῷ πράγματι, ἐν τῇ στιγμῇ τῆς πράξεως. Ἀμφότερα δὲ συναπτέα τῷ *μεμηνῦσθαι* καὶ οὐχὶ τῷ *ὑποτοπήσαντες*. — *ἐκ τῶν ξυνειδότων σφίσιν*] = ὑπὸ τῶν συνειδότων, παρὰ τῶν συνειδότων, ἡ δὲ *ἐκ* πρὸς δήλωσιν τοῦ ποιητικοῦ αἰτίου παρὰ τοῖς Ἀττικοῖς πεζολόγοις εἶναι εὔχρηστος μόνον ἐπὶ τῶν ῥημάτων *δίδοσθαι, ἐπιπέμπεσθαι, συνοικίζεσθαι καὶ μηνύεσθαι* (ὅρα Γ. Ζηκίδ. Συντ. § 360, σημ. 1)=ὑπὸ τῶν σὺν σφίσι (τῷ Ἁρμοδίῳ καὶ Ἀριστογείτονι) εἰδότων. —*μεμηνῦσθαι*] = προδεδόσθαι (Ξεν. Ἑλλ. Γ', γ', 10). — *τοῦ μὲν*] δηλ. τοῦ Ἱππίου. — *ὡς προειδότος*] νομίζοντες ὅτι προήδει. — *πρὶν ξυλληφθῆναι*] ὁ Κόβητος ὀβελίζει τὰς λέξεις ταύτας νομίζων ὅτι παρελήφθησαν ἐκ τῶν «*ἐνόμισαν μεμηνῦσθαί τε καὶ ὅσον οὔκ ἤδη ξυλληφθήσεσθαι*» (Ϛ', 57, 2), πρβλ. ὅμως Ἀριστοτέλην «*βουλόμενοί τι δρᾶσαι πρὸ τῆς συλλήψεως*» (Ἀθην. Πολιτ. 18). — *δράσαντές τι καὶ κινδυνεῦσαι*] πρβλ. καὶ «*εἰπόντας τι κινδυνεύειν*» (Γ', 53, 3) πρβλ. καὶ τὸ τοῦ Πινδάρου «*ἐπεὶ ῥέζοντά τι καὶ παθεῖν ἔοικεν*» (Νεμ. Δ, 31—32). Τὸ ἀόριστον *τι* σημαίνει ἔχοντά τι, σπουδαῖόν τι, ὁ δὲ καὶ =οὕτω καί. — *Λεωκόριον*] *Λεώς τις τὰς ἑαυτοῦ κόρας ἐπιδέδωκε καὶ ἀπήλλαξε τοῦ λιμοῦ τὴν πόλιν· καὶ τούτων ἱερὸν ἐγένετο ἐν τῇ Ἀττικῇ καλούμενον Λεωκόριον* (Σχολ.), ἔκειτο δ' ἐντὸς τῶν πυλῶν (Θουκ. Ϛ', 57, 3) εἰς τὸν ἔσω Κεραμεικὸν (Ἁρπορκρ. ἐν λ.).—*τὴν πομπὴν*...

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κοσμοῦντι ἀπέκτειναν. Πολλὰ δὲ καὶ ἄλλα ἔτι καὶ νῦν ὄντα καὶ οὐ χρόνῳ 3
ἀμνηστούμενα καὶ οἱ ἄλλοι Ἕλληνες οὐκ ὀρθῶς οἴονται, ὥσπερ τούς τε Λακεδαιμονίων βασιλέας μὴ μιᾷ ψήφῳ προστίθεσθαι ἑκάτερον, ἀλλὰ δυοῖν, καὶ τὸν Πιτανάτην λόχον αὐτοῖς εἶναι, ὃς οὐδ' ἐγένετο πώποτε. Οὕτως ἀπαλαίπωρος τοῖς πολλοῖς ἡ ζήτησις τῆς ἀληθείας καὶ ἐπὶ τὰ ἑτοῖμα μᾶλλον τρέπονται.

21. Ἐκ δὲ τῶν εἰρημένων τεκμηρίων ὅμως τοιαῦτα ἄν τις νομίζων μά- 1

διακοσμοῦντι] πρβλ. καὶ Ἀριστοτέλην «τὸν Ἵππαρχον διακοσμοῦντα τὴν πομπὴν παρὰ τὸ Δεωκύριον ἀπέκτειναν» (Ἀθην. Πολιτ. 18). — ἀπέκτειναν] δηλ. αὐτόν, πρβλ. Ϛ', 56, 3).

§ 3. καὶ οὐ χρόνῳ ἀμνηστούμενα] εἶναι ἀρνητικὴ ἔκφρασις τῆς προηγουμένης ἐννοίας «ἔτι καὶ νῦν ὄντα», πρβλ. καὶ «ἡσυχάσασα καὶ οὐκέτι ἀνισταμένη» (Α', 12, 4). Τὸ δ' ἀμνηστοῦμαι (=λησμονοῦμαι) μόνον ἐνταῦθα ἀπαντᾷ παρὰ τοῖς Ἀττικοῖς πεζολόγοις. — καὶ οἱ ἄλλοι Ἕλληνες] κατ' ἀντίθεσιν πρὸς τὸ Ἀθηναίων (§ 2). — οἴονται] μετ' αἰτιατικῆς μόνον ἐνταῦθα. — ὥσπερ] δηλ. οἴονται. — μιᾷ ψήφῳ προστίθεσθαι] ὁ Θουκυδίδης ἐνταῦθα διαφωνεῖ πρὸς τὸν Ἡρόδοτον λέγοντα τάδε· «παρίζειν (κελεύουσι τοὺς βασιλέας) βουλεύουσι τοῖς γέρουσι, ἑσσοῦσι δυοῖν δέουσι τριάκοντα· ἢν δὲ μὴ ἔλθωσι, τοὺς μάλιστά σφι τῶν γερόντων προσήκοντας ἔχειν τὰ τῶν βασιλέα γέρεα, δύο ψήφους τιθεμένους, τρίτην δὲ τὴν ἑωυτῶν» (Ἡρόδ. Ϛ', 57). Ἑκάτερος τῶν βασιλέων εἶχε μίαν ψῆφον, ἀλλὰ τὴν νικῶσαν ἐπὶ ἰσοψηφίας. Πολλοὶ τῶν νεωτέρων συμβιβάζουσι τὴν διαφωνίαν δεχόμενοι ὅτι εἰς γέρων ἐτίθετο δύο ψήφους χάριν τῶν δύο βασιλέων. Τὸ δὲ «προστίθεσθαι μιᾷ ψήφῳ» = προστιθέναι ἑαυτοὺς ἢ τὴν ἑαυτῶν γνώμην μιᾷ ψήφῳ, ψηφίζεσθαι μιᾷ ψήφῳ, πρβλ. «Λάμαχος προσέθετο τῇ Ἀλκιβιάδου γνώμῃ» (Ϛ', 50, 1, πρβλ. καὶ Η', 48, 4. 87, 4, κτλ. — τὸν Πιτανάτην λόχον] διαφωνεῖ καὶ πάλιν πρὸς τὸν Ἡρόδοτον (Θ', 53), ὅστις μαρτυρεῖ ὅτι ἦν ὁ Πιτανάτης λόχος κληθεὶς οὕτως ἀπὸ Πιτάνης κώμης Λακωνικῆς (Σχολ.) ἢ δήμου (Ἡροδ. Γ', 55) Καὶ ὁ Ἡσύχιος ἀρνεῖται τὴν ὕπαρξιν αὐτοῦ, ὡς ὁ Θουκυδίδης. Τινὲς δὲ δικαιολογοῦντες τὴν ὕπαρξιν αὐτοῦ λέγουσιν ὅτι οἱ Λακεδαιμόνιοι ἔχοντες τὸν λόχον δὲν μετεχειρίζοντο δημοσίᾳ τοῦτο τὸ ὄνομα (Salom. p. 30. κ.ἑ.). Ὁ δὲ Ἀντωνῖνος ἀνενέωσε τὸν Πιτανάτην λόχον, διότι «ἀπὸ Σπάρτης μεταπεμψάμενος ναυαρίας, Λακωνικὸν καὶ Πιτανάτην ἐκάλει λόχον» (Ἡρῳδιαν. Δ', η', 3). — ἀπαλαίπωρος] ἄνευ κόπου, ἡμελημένη, ἀκοπίαστος, πρβλ. καὶ Ἀρριαν. Ἀναβ. Ϛ', ια', 8 καὶ Τάκιτ. (Hist. VI, 49) «indiligentiam veri» καὶ ἀνωτέρ. § 1 «ἀβασανίστως». — ἐπὶ τὰ ἑτοῖμα] = ταῦτα, ἅτινα εἶναι πρόχειρα, ἕτοιμα. — τρέπονται] = τρέπουσιν ἑαυτούς.

Κεφ. 21. *Ὁ Πελοποννησιακὸς πόλεμος ἐκ τῶν εἰρημένων ἀποδείξεων φαίνεται μείζων γεγενημένος τῶν πρὸ αὐτοῦ.*

§ 1. Ἐκ δὲ τῶν εἰρημένων τεκμηρίων] ὁ Θουκυδίδης μετὰ τὴν ἐξήγησιν τῆς δυσκολίας πρὸς εὕρεσιν τῆς ἀληθείας περὶ τὰ παλαιὰ (κεφ. 20 «τὰ μὲν παλαιὰ τοιαῦτα ηὗρον, χαλεπὰ ὄντα . . πιστεῦσαι) ἐπανέρχεται εἰς τὴν συνέχειαν. Ἄλλοι δὲ «εἰρημένα τεκμήρια» ἐννοοῦσι τὰ ἀπὸ τοῦ κεφ. 2—19. Ἡ δὲ ἐκ σημαίνει συμφωνίαν = κατὰ (πρβλ. Ε', 25, 2) καὶ συναπτέον τὸ «ἐκ τῶν . . τεκμηρίων» τῷ νομίζων, κατ' ἄλλους δὲ ἡ ἐκ = μετά, ὕστερον (πρβλ. Α', 120, 3). — ὅμως] ἀντιτίθεται εἰς τὸ «εἰ καὶ τὰ παλαιὰ χαλεπά ἐστι . . πιστεῦσαι» (κεφ. 20, 1). — τοιαῦτα μάλιστα] τὸ μάλιστα κολάζει τὴν ἔννοιαν τοῦ τοιαῦτα = τοιαῦτα

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λιστα ἃ διῆλθον οὐχ ἁμαρτάνοι, καὶ οὔτε ὡς ποιηταὶ ὑμνήκασι περὶ αὐτῶν ἐπὶ τὸ μεῖζον κοσμοῦντες μᾶλλον πιστεύων, οὔτε ὡς λογογράφοι ξυνέθεσαν ἐπὶ τὸ προσαγωγότερον τῇ ἀκροάσει ἢ ἀληθέστερον, ὄντα ἀνεξέλεγκτα καὶ τὰ πολλὰ αὐτῶν ὑπὸ χρόνου ἀπίστως ἐπὶ τὸ μυθῶδες ἐκνενικηκότα, ηὑρῆσθαι δὲ ἡγησάμενος ἐκ τῶν ἐπιφανεστάτων σημείων ὡς παλαιὰ εἶναι ἀποχρώντως. Καὶ ὁ πόλεμος οὗτος, καίπερ τῶν ἀνθρώπων ἐν ᾧ μὲν ἂν πολεμῶσι τὸν πα-

σχεδόν, εἶναι δὲ κατηγορούμενον τοῦ «ἃ διῆλθον»=νομίζων τις ἃ διῆλθον τοιαῦτα μάλιστα οὐκ ἂν ἁμαρτάνοι.—*νομίζων*]=εἰ νομίζοι. — *καὶ .. πιστεύων*] = καὶ εἰ πιστεύοι, διὰ δὲ τοῦ *καὶ* συνδέεται ἡ μετοχὴ *πιστεύων* τῇ μετοχ. *νομίζων* καὶ κατωτ. τῇ *ἡγησάμενος*. — *ἐπὶ τὸ μεῖζον κοσμοῦντες*] πρβλ. Α', 10, 3. πρβλ. καὶ Πινδ. Πυθ. Ζ, 20 κ. ε. Sall. Iug. 73.—*λογογράφοι*] εἶναι οἱ ἐν πεζῷ λόγῳ συγγράφοντες καὶ ἀντιτιθέμενοι πρὸς τοὺς ἔπη ποιοῦντας ποιητάς. Ὁ Θουκυδίδης καλεῖ *λογογράφους* τοὺς προτέρους ἱστορικοὺς ὡς τὸν πεζὸν λόγον μετα-χειρισαμένους. Οἱ αὐτοὶ καλοῦνται καὶ *λογοποιοὶ* (Ἀρριαν. Ἀναβ. Ε', 5, 5. κτλ.). — *ξυνέθεσαν*] πρβλ. καὶ τὸ παθητ. *σύγκειται* (Α', 22, 4).— *ἐπὶ τὸ προσαγωγότερον τῇ ἀκροάσει*] πρβλ. καὶ ἀνωτ. «*ἐπὶ τὸ μεῖζον*», πρβλ. καὶ «*ἐς τὸ τερφερώτερον*» (Α', 6, 3) = ἐπὶ τὸ ἡδύτερον, ὃ προσάγει (Σχολ.), ἐπὶ τὸ ἐλκυστικώτερον (θελκτικώτερον), πρβλ. *ἐπαγωγὸς* (Δ', 88, 1. Ϛ', 8, 2) καὶ *προσαγωγὸς* (Λουκιαν. Διάλ. Θε. 20, 11). Διὰ δὲ τοῦ «*τῇ ἀκροάσει*» ἐννοεῖ τὴν παρὰ τοῖς Ἕλλησι συνεθιζομένην ἀπαγγελίαν τῶν ἱστορικῶν τούτων συγγραμμάτων μᾶλλον ἢ τὴν ἀνάγνωσιν, ὡς λέγεται καὶ περὶ τοῦ Ἡροδότου ὅτι ἀπήγγειλεν ἐν Ὀλυμπίᾳ μέρη τῶν ἱστοριῶν αὐτοῦ (ὅρα ἐνταῦθ. εἰσαγ.). — *ὄντα ἀνεξέλεγκτα*] ἐξαρτῶνται ἐκ τοῦ «*τοιαῦτα ἄν τις νομίζων μάλιστα ἃ διῆλθον οὐχ ἁμαρτάνοι*», κακῶς δ' ὁ Πόππος ἐξαρτᾷ ταῦτα ἐκ τοῦ «*ξυνέθεσαν*», = οὐκ ἐλέγχους οὐδὲ ἀποδείξεις ἔχοντα (Σχολ.). — *καὶ τὰ πολλὰ αὐτῶν ὑπὸ χρόνου*] οὕτως ἔθηκε τὰς λέξεις ὁ Κόβητος ἀντὶ τοῦ «*καὶ τὰ πολλὰ ὑπὸ χρόνου αὐτῶν*»=καὶ τὰ πολλὰ αὐτῶν, δηλ. τῶν ἃ διῆλθον. Ὁ δὲ Ἑρουερδὴν ὠθελίζει τὰ αὐτῶν.—*ἀπίστως ἐπὶ τὸ μυθῶδες ἐκνενικηκότα*] ὡς πολλὰ τῶν ἐπιθέτων τίθενται προληπτικῶς, οὕτω τίθενται καὶ τὰ ἐπιρρήματα=οὕτως ὥστε οὐδεμία αὐτοῖς πίστις νὰ παρέχηται (πρβλ. Α', 140, 1. Κυννήρ. Γραμμ. § 497, 5). Ὁ δὲ Βάδαμος γράφει «*ἄπιστα ὡς ἐπὶ τὸ μυθῶδες*» κτλ. Τὸ δὲ *ἐκνικᾶν*=ἀποκλίνειν εἰς τὸ μυθῶδες, καταντᾶν μυθώδη (ὅρα Α', 3, 2). — *ηὑρῆσθαι δὲ ἡγησάμενος*] =οὐκ ἂν ἁμαρτάνοι τις, εἰ ἡγήσαιτο ἀποχρώντως ηὑρῆσθαι ἐκ τῶν ἐπιφανεστάτων σημείων ὡς παλαιὰ εἶναι (=ὡς πρὸς τὴν παλαιότητα αὐτῶν). —*ἐκ τῶν ἐπιφανεστάτων σημείων*]=ἐκ τῶν εἰρημένων τεκμηρίων (§ 1).—*ὡς παλαιὰ εἶναι*] = ὡς παλαιὰ κατὰ τὴν οὐσίαν, κατὰ τὴν ὕπαρξιν, πρβλ. *ἐκὼν εἶναι, τὸ νῦν εἶναι, εἰς δύναμιν εἶναι*, κτλ. (ὅρα Γ. Ζηκίδ. Συντ. § 430, 1). Ἡ δὲ χρῆσις τοῦ εἶναι ἐν ταύτῃ τῇ φράσει εἶναι ἐξαιρετική.—*ἀποχρώντως*] συναπτέον τῷ «*ηὑρῆσθαι*». Ὅλως δ' ἀτόπως ὁ Ἀάσιος (Haase) συνάπτει τὰς λέξεις ὧδε· «*ἡγησάμενος εἶναι ἀποχρώντως ηὑρῆσθαι ἐκ τῶν ἐπιφανεστάτων σημείων ὡς παλαιά*», τὸ δ' *ἀποχρώντως εἶναι* δεχόμενος = ἀποχρῆν ἢ ἄλλως εἶναι.

§ 2. *Καὶ ὁ πόλεμος οὗτος*]=οὗτος ὁ πόλεμος (Α', 13, 3), δηλ. ὁ Πελοποννησιακὸς πόλεμος.—*ἐν ᾧ*]=ὅτε (πρβλ. Α', 37, 4. 4ᵛ. 2. Δ', 17, 2. Η', 29, 4).—*τὸν παρόντα αἰεί*] δηλ. *πόλεμον*=τὸν ἑκάστοτε παρόντα πόλεμον. — *παυσαμένων δὲ*] δηλ. τοῦ *πολε-*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ρόντα αἰεὶ μέγιστον κρινόντων, παυσαμένων δὲ τὰ ἀρχαῖα μᾶλλον θαυμαζόντων, ἀπ' αὐτῶν τῶν ἔργων σκοποῦσι δηλώσει ὅμως μείζων γεγενημένος αὐτῶν.

22. Καὶ ὅσα μὲν λόγῳ εἶπον ἕκαστοι ἢ μέλλοντες πολεμήσειν ἢ ἐν αὐτῷ 1
ἤδη ὄντες, χαλεπὸν τὴν ἀκρίβειαν αὐτὴν τῶν λεχθέντων διαμνημονεῦσαι ἦν ἐμοί τε ὧν αὐτὸς ἤκουσα καὶ τοῖς ἄλλοθέν ποθεν ἐμοὶ ἀπαγγέλλουσιν. Ὡς δ' ἂν ἐδόκουν ἐμοὶ ἕκαστοι περὶ τῶν αἰεὶ παρόντων τὰ δέοντα μάλιστ' εἰπεῖν, ἐχομένῳ ὅτι ἐγγύτατα τῆς ξυμπάσης γνώμης τῶν ἀληθῶς λεχθέντων, οὕτως εἴρηται. Τὰ δ' ἔργα τῶν πραχθέντων ἐν τῷ πολέμῳ οὐκ ἐκ τοῦ παρατυχόντος 2

μεῖν=ἐπειδὰν δὲ παύσωνται πολεμοῦντες. —*μᾶλλον*] δηλ. *ἢ τὰ παρόντα*.—*ἀπ' αὐτῶν τῶν ἔργων*] *ἡ ἀπὸ* σημαίνει τὸ ἐξ οὗ γίνεται ἡ κρίσις (πρβλ. Β', 48, 3. Γ', 38, 4). *Ἔργα* δὲ κατὰ τὸν Κλασσήνιον εἶναι καὶ οἱ λόγοι *(τὰ λεχθέντα)* καὶ αἱ πράξεις *(τὰ πραχθέντα)*, ἅτινα ὁ Θουκυδίδης ἐξηγεῖται ἐν τῷ ἑπομένῳ κεφαλαίῳ = καὶ ὁ πόλεμος οὗτος τοῖς ἀπ' αὐτῶν τῶν ἔργων σκοποῦσι δηλώσει ὅτι μείζων ἐστὶ γεγενημένος τῶν ἀρχαίων· τοῦτο γάρ ἐστι τὸ *αὐτῶν* (Σχολ.). —*δηλώσει γεγενημένος*] = ὁ πόλεμος δηλώσει ἐκείνοις ὅτι μείζων γέγονεν. Τινὲς δὲ τὸ *δηλώσει* λαμβάνουσιν ἀμεταβάτως, ὡς τὸ «*δηλοῖ φανείς*» (Σοφ. Αἴ. 877), τὸ δὲ *σκοποῦσιν* ὡς δοτικὴν τῆς ἀναφορᾶς = ὡς πρὸς τοὺς σκοποῦντας δῆλος ἔσται μείζων γεγενημένος.—*αὐτῶν*] γένους οὐδετέρου ἀναφερόμενον εἰς τὸ «*τὰ ἀρχαῖα*».

Κεφ. 22. *Ὁ Θουκυδίδης δηλοῖ τὸν τρόπον τῆς συγγραφῆς τῆς ἱστορίας καὶ τῆς ἐπεξεργασίας τῆς ὕλης.*

§ 1. *λόγῳ εἶπον*] πρβλ. *λόγῳ οὔπω ἱκανὰ εἰρῆσθαι*] (Ζ', 69, 2. πρβλ. Β', 46) ἀντιτίθεται δὲ πρὸς τὸ κατωτέρω «*τὰ δ' ἔργα τῶν πραχθέντων*». Εἰς ἀμφότερα δὲ τὰ μέρη ὁ Θουκ. διατηρεῖ συμμετρίαν τινά, —*τῶν λεχθέντων. . τῶν πραχθέντων. ἐδόκουν. . ἐδόκει, ἀκρίβειαν. . ἀκριβείᾳ*. Ἐννοεῖ δὲ διὰ τούτων τὰς δημηγορίας. Πολλάκις δὲ οἱ ἀρχαῖοι Ἕλληνες παρατάσσουσι σύστοιχον ὀργανικὴν δοτικὴν τοῖς ῥήμασιν, ὡς *φυγῇ φεύγειν* (Πλάτ. Συμπ. 195, 6'), *λόγῳ λέγειν* ('Ηρόδ. Δ', 8. Εὐρ. Ἱκετ. 844. Δημ. 6, 11 κτλ.). ὁρα Λοβέκ. Παραλειπ. σ 523—527. Σφάλλονται δ' οἱ ἑρμηνεύοντες τὸ *λόγῳ* διὰ τοῦ *ἐν λόγοις δημοσίοις* (in orationibus publicis). ὁ Κρυγῆρος δὲ ἑρμηνεύει αὐτὸ διὰ τοῦ «*διὰ τοῦ λόγου*» *(ὡς ῥήτωρ)*.—*ἐν αὐτῷ*] δηλ. *ἐν τῷ πολεμεῖν, ἐν τῷ πολέμῳ*. Τὸ δὲ «*εἶναι ἔν τινι*» πολλάκις=εἶναι περί τι, ἀσχολεῖσθαι περί τι, διατρίβειν ἔν τινι.—*τὴν ἀκρίβειαν αὐτὴν*]=τὴν ἀκριβῆ αὐτολεξίαν. — *διαμνημονεῦσαι*] ἀόρ. ἐναρκτικὸς =εἰς τὴν μνήμην ἀνακαλέσαι. — *ὧν*]=τούτων (τῶν λόγων) ὧν.—*ἀπαγγέλλουσιν*] δηλ. *οἵδε αὐτοὶ ἤκουσαν*.—*ὡς δ' ἂν ἐδόκουν*] = καθὼς ὅμως (=καθ' ὃν ὅμως τρόπον ἤθελον ὁμιλήσῃ ἢ ὃν λέγοντες ἤθελον ἀκολουθήσῃ) ἐμοὶ ἐφαίνοντο κτλ. Ὁ *ἂν* συναπτέος τῷ ἀπαρεμφ. «*εἰπεῖν*» (πρβλ. Β', 83, 3. 89, 5. Γ', 42, 2. 89, 5). — *τὰ δέοντα μάλιστα*] τὸ *μάλιστα* συναπτέον τῷ «*τὰ δέοντα*» =τὰ ἁρμοδιώτατα, τὰ συμφωνότατα (maxime consentanea), κατ' ἄλλους δὲ τῷ «*εἰπεῖν ἂν ἐδόκουν*».—*ἐχομένῳ ὅτι ἐγγύτατα τῆς ξυμπάσης γνώμης*] συναπτέον τῷ «*οὕτως εἴρηται*», εἰς ὃ ἐννοεῖται ἐκ τῶν εἰρημένων τὸ «*ἐμοί*». Τὸ δ' *ἔχομαί τινος*=προσκολλῶμαί τινι, ἅπτομαί τινος. Τὸ δὲ «*τῆς ξυμπάσης γνώμης*» = τοῦ περιεχομένου, τῆς ὅλης γνώμης (ἐννοίας).

§ 2. *τὰ δ' ἔργα τῶν πραχθέντων*] οἱ πλεῖστοι τῶν ἑρμηνευτῶν ἐξέλαβον αὐτὸ =*τὸ δ' ἀληθὲς τῶν γενομένων* (Ρεϊσίγιος εἰς Σοφ. Οἰδ. Κ. CXCIII. Ἑρμανν. εἰς Σοφ. Τραχ. 229 καὶ Δισσέν. εἰς Δημ. περὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πυνθανόμενος ἠξίωσα γράφειν οὐδ' ὡς ἐμοὶ ἐδόκει, ἀλλ' οἷς τε αὐτὸς παρῆν καὶ παρὰ τῶν ἄλλων ὅσον δυνατὸν ἀκριβείᾳ περὶ ἑκάστου ἐπεξελθών. Ἐπι- 3
πόνως δὲ ηὑρίσκετο, διότι οἱ παρόντες τοῖς ἔργοις ἑκάστοις οὐ ταὐτὰ περὶ τῶν

τοῦ Στερ. § 160), πρβλ. καὶ «αἱ ἀλήθειαι τῶν πραγμάτων» (Ἰσοκρ. 2, 46). ὁ δὲ Κρυγῆρος ἑρμηνεύει αὐτὸ διαστέλλων πραχθέντα καὶ ἔργα. Καὶ διὰ μὲν τοῦ γενικωτέρου πραχθέντα ἐννοεῖ τὰ ἐν τῷ πολέμῳ γενόμενα, ἤτοι τὰς πολεμικὰς πράξεις, τὰς διαπραγματεύσεις, τὰς πρεσβείας, τὰς δημηγορίας κτλ., διὰ δὲ τοῦ ἔργα μέρος τῶν πραχθέντων, τὰς καθ' αὑτὸ καθαρὰς πολεμικὰς πράξεις, τὸ δὲ ὅλον = ἐκ τῶν ἐν τῷ πολέμῳ πραχθέντων (ἢ γενομένων) τὰ καθ' αὑτὸ καὶ κύρια πολεμικὰ ἔργα = τὰ ἔργῳ πραχθέντα ἀντιθέτως πρὸς τὰ λόγῳ ῥηθέντα. Ὁ δὲ Πόππος νομίζει αὐτὸ καθαρὸν πλεονασμόν, ὡς τὸ «λέκτρον εὐνῆς» (Πίνδ. Νεμ. Ε', 30). ὅρα Ἀσωπ. Περ. Β', σ. 896, § 117. Ἡμεῖς οὐδένα πλεονασμὸν δεχόμεθα, ἀλλὰ νομίζομεν ὅτι κατ' ἀντίθεσιν πρὸς τὸ «λόγῳ εἶπον» μετεχειρίσατο τὸ «τὰ ἔργα τῶν πραχθέντων» ἀντὶ τοῦ εἰπεῖν «τὰ δ' ἔργῳ πραχθέντα», ἢ «τὰ δ' ἔργα τὰ πραχθέντα», πρβλ. «λόγῳ . . . οὐκ ἔργῳ πραττόμενα (Πλάτ. Νόμ. 736, δ', πρβλ. καὶ Σοφ. Φιλ. 546. Δημ. 14, 26) καὶ «οὐχ ἡμεῖς αὐτῷ οἱ λέγοντες αἴτιοί ἐσμεν, ἀλλ' ἡ πρᾶξις τῶν ἔργων» (Ἀντιφῶν 3, δ', 10), ὅπερ ἠδύνατο νὰ λεχθῇ καὶ «τὰ ἔργα τὰ πραχθέντα» (πρβλ. Δημ. 20, 64), ὅρα Λοβέκ. Παραλειπ. σ. 526, 21.—ἐκ τοῦ παρατυχόντος] ἰσχυρότερον τοῦ τυχόντος ὡς σημαῖνον ἄνθρωπον, ᾧ τινι ἀπαντᾷ τις ἐμπρὸς κατὰ τύχην.—πυνθανόμενος] συνήθως λέγεται πυνθάνομαί τι παρά τινος (Πλάτ. Λάχ. 187, δ'. Γοργ. 455, γ', κτλ.), ἀλλὰ καὶ ἔκ τινος (ὡς ἐνταῦθ.), ἀπό τινος (Αἰσχύλ. Χοηφ. 736) καὶ πρός τινος (Ἡροδ. Θ', 58).—ἠξίωσα] = ἔπεισα ἐμαυτὸν (animum induxi), πρβλ. Α', 132, 5. Β', 11, 8. Περὶ δὲ τοῦ ἀορίστ. ὅρα τὸ ξυνέγραψε (Α', 1, 1).—ἐδόκει] δηλ. γράφειν.—ἀλλ' οἷς τε αὐτὸς παρῆν καὶ παρὰ τῶν ἄλλων...ἐπεξελθών] = ἀλλ' ἠξίωσα γράφειν ταῦτα, οἷς τε αὐτὸς παρῆν καὶ ἃ παρὰ τῶν ἄλλων ἐπεξῆλθον. Μετέβαλε δὲ τὴν σύνταξιν θεὶς μετοχὴν ἐπεξελθών, ὡς εἰ προηγεῖτο «αὐτός τε παρὼν» (πρβλ. Ϛ', 18, 1). Εἶναι δὲ καὶ σχῆμα χιαστόν, διότι εἰς μὲν τὸ «ὡς ἐμοὶ ἐδόκει» ἀποδίδοται τὸ «οἷς τε αὐτὸς παρῆν», εἰς δὲ τὸ «ἐκ τοῦ παρατυχόντος» τὸ «παρὰ τῶν ἄλλων . . ἐπεξελθών».—παρὰ τῶν ἄλλων] περὶ τῆς παρὰ προθέσεως πρβλ. τὸ «τὰ μὲν ἔργα παρ' ὑμῶν αὐτῶν ζητεῖτε» (Δημ. 8, 75). Ὁ δὲ Οὐλρίχιος (Symb. ad Thuc. σ. 128) γράφει «τὰ παρὰ τῶν ἄλλων», ἀλλὰ τότε ὤφειλε νὰ εἴπῃ καὶ «ἕκαστον», ἀλλ' οὐχι «περὶ ἑκάστου», ὁ δὲ Λινδόβιος (Annal. phil. 1862 σ. 197) καὶ ὁ Κλασσήνιος γράφουσι «περὶ τῶν ἄλλων». Τὸ δὲ ἄρθρον, ὅ τινες ὑποπτεύουσιν, ἑρμηνευτέον διὰ τοῦ «παρὰ τῶν ἄλλων παρ' ὧν ἐπυνθανόμην».—ὅσον δυνατὸν ἀκριβείᾳ] = τοσοῦτον, ὅσον ἦν δυνατὸν ἀκριβείᾳ ἐπεξελθεῖν = ὅσῃ ἐδυνάμην ἀκριβείᾳ, πρβλ. «σιγῇ ὡς ἀνυστὸν καὶ ἡσυχῇ προσῆσαν» (Ξεν. Ἀν. Α', η', 14). —ἐπεξελθών] τὸ ἐπεξέρχομαι, ὅπερ (Γ', 67, 1) ὡς πολλάκις παρὰ τοῖς ἄλλοις συγγραφεῦσι (πρβλ. Πλάτ. Τίμ. 38, δ'. Παρμ. 128, δ'. Φίλ. 6, 23, δ'. 24, ε'. 66, δ'. Γοργ. 492, δ'. Πολ. 366, ε') = ἐκτιθέναι, ἑρμηνεύειν, ἐνταῦθα σημαίνει τὸ ἐρευνᾶν, πῶς δ' ἡ σημασία αὕτη προῆλθεν ἐκ τῆς πρώτης, φαίνεται ἐκ τῶνδε· «τὸ πᾶν γὰρ ἐπεξελθεῖν διζήμενον» (Ἡροδ. Ζ', 166) καὶ «οὐδ' εἰ πάντ' ἐπεξέλθοις σκοπῶν» (Σοφοκλ. Ἀποσπ. 659).—ἐπιπόρως] κατ' ἀναφορὰν πρὸς τὸ ἀβασανίστως (κεφ. 20, 1) καὶ ἀταλαίπωρος (κεφ. 20, 3), ὅπερ περὶ τῶν ἄλλων λέγει.—οὐ ταὐτὰ περὶ τῶν αὐτῶν] ἡ ἐπανάληψις τοῦ ὁ αὐτὸς καὶ ἀλλαχοῦ (Γ', 56, 7. Ϛ', 38, 5).—ἀλλ' ὡς ἑκα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αὐτῶν ἔλεγον, ἀλλ' ὡς ἑκατέρων τις εὐνοίας ἢ μνήμης ἔχοι. Καὶ ἐς μὲν ἀ- 4
κρόασιν ἴσως τὸ μὴ μυθώδες αὐτῶν ἀτερπέστερον φανείται· ὅσοι δὲ βουλήσονται τῶν τε γενομένων τὸ σαφὲς σκοπεῖν καὶ τῶν μελλόντων ποτὲ αὖθις κατὰ τὸ ἀνθρώπειον τοιούτων καὶ παραπλησίων ἔσεσθαι, ὠφέλιμα κρίνειν αὐτὰ ἀρκούντως ἕξει. Κτῆμά τε ἐς αἰεὶ μᾶλλον ἢ ἀγώνισμα ἐς τὸ παραχρῆμα ἀκούειν ξύγκειται.

τέρων τις εὐνοίας ἢ μνήμης ἔχοι]=ἀλλ' ἔλεγον ὥς τις ἔχοι εὐνοίας ἑκατέρων ἢ μνήμης. ἡ δὲ εὐκτικὴ σημαίνει ἐπανάληψιν τῆς πράξεως=καθ' ἣν εὔνοιαν πρὸς ἑκατέρους ἢ μνήμην ἤθελέ τις ἔχῃ. Λί γενικαὶ εὐνοίας καὶ μνήμης εἶναι γενικαὶ τῆς ἀναφορᾶς εἰς τὸ ὥς, πρβλ. «ὡς εἶχε τάχους ἕκαστος» (Β',90,4, πρβλ. καὶ Ϛ',97,3), ἡ δὲ γενικὴ ἑκατέρων εἶναι γενικὴ ἐξ ἀντικειμένου μόνον τῆς γενικῆς εὐνοίας, πρβλ. «Ἀθηναίων εὐνοίᾳ» (Ζ',57,10).

§ 4. ἐς μὲν ἀκρόασιν] ἡ ἐς σημαίνει ἀναφοράν, περὶ δὲ τῆς ἀκροάσεως ὅρα κεφ. 21,1.—τὸ μὴ μυθῶδες αὐτῶν] ὁηλ. τῶν ὑπ' ἐμοῦ γραφέντων. Ἐτέθη δὲ τὸ μή, διότι περιέχεται ἁπλῆ δοξασία καὶ ὑπόθεσις =εἰ μὴ μυθώδη αὐτά ἐστιν, εἰ μηδεὶς ἐν αὐτοῖς μῦθος εὑρίσκεται, ἐκ μέρους δὲ τοῦ ἀναγνώστου, λεγόμενον θὰ ἐτίθετο τὸ οὐ μυθῶδες=διότι οὐ μυθώδες ἐστιν.—ἀτερπέστερον] ὁ Β' ὅρος τῆς συγκρίσεως ἐννοεῖται ἐκ τοῦ ἐναντίου = ἢ εἰ ἦν αὐτὰ μυθώδη (ὅρα Γ.Ζηκίδ.Συντ. § 258).—τῶν τε γενομένων .. καὶ τῶν μελλόντων] ὁ Ἑρμογένην γράφει «τῶν γενομένων τὸ σαφὲς σκοπεῖν, μελλόντων ποτὲ» κτλ.—τὸ σαφὲς]=τὸ βέβαιον, τὸ πραγματικόν.—κατὰ τὸ ἀνθρώπειον] = κατὰ τὴν ἀνθρωπίνην φύσιν τῶν πραγμάτων, ὡς εἶναι τὰ ἀνθρώπινα πράγματα. Οὐδόλως δὲ διαφέρει κατ' ἔννοιαν τὸ ἀνθρώπειος καὶ ἀνθρώπινος.—τοιούτων καὶ παραπλησίων] κατηγορούμενα, ἄτινα καὶ ἀλλαχοῦ συνάπτονται διὰ τοῦ καὶ (κεφ. 143, 3) καὶ διὰ τοῦ τὲ καὶ (Ζ',78,1). —ὠφέλιμα κρίνειν αὐτὰ ἀρκούντως ἕξει] ἐννοεῖται ὑποκείμ. τοῦ κρίνειν τὸ τούτους (ὁηλ. ὅσοι βουλήσονται), τὸ δὲ αὐτὰ=τὰ ὑπ' ἐμοῦ γραφέντα (πρβλ. καὶ τὸ μὴ μυθῶδες αὐτῶν), τὸ δὲ ἀρκούντως ἕξει κεῖται ἀπροσώπως ἔχον ὑποκείμ. τὸ κρίνειν=ἀρκέσει τὸ κρίνειν αὐτὰ ὠφέλιμα τούτους. Κακῶς δὲ ὁ Κρυγῆρος ὀβελίζει τὰς λέξεις «ὠφέλιμα κρίνειν αὐτά». —κτῆμά τε] ὁ τὲ ἔχει συμπερασματικὴν ἔννοιαν=καὶ διὰ τοῦτο λοιπὸν (ὅρα Α', 9, 1). Τοῦτο μνημονεύει καὶ ὁ Λουκιανὸς (πῶς δεῖ ἱς.συγγ.42) καὶ ὁ Πλίνιος (Ep. V, 8, 11) πρβλ. καὶ «Totumque (historiae) opus non ad actum rei pugnamque praesentem, sed ad memoriam posteritatis et ingenii famam componitur» (Quintil. X, 1,31). —κτῆμα ἐς αἰεί] = κτῆμα παντοτινόν, πρᾶγμα διηνεκῶς ὠφέλιμον τοῖς τὴν ἱστορίαν ταύτην ἀναγινώσκουσιν. —ἀγώνισμα]=ἔργον, ὅπερ ἕνεκα ἐπιδείξεως εἰσάγεται εἰς τὸν ἀγῶνα διὰ τὸ ἐν αὐτῷ βραβεῖον. Ἐννοεῖ δὲ τοὺς ἐπιδεικτικοὺς λόγους τῶν σοφιστῶν ὄντας πρόσκαιρα γεννήματα τοῦ ἀγῶνος καὶ ἐν ταῖς πανηγύρεσιν ἀπαγγελλομένους, πρβλ. «ἀγώνισμα μέν, μάθημα δὲ οὐ γίγνεται, καὶ παραυτίκα μὲν τέρπει, πρὸς δὲ τὸ μέλλον οὐδὲν ὠφελεῖ τὸ παράπαν» (Πολυβ.Γ', λα', 12). —ἐς τὸ παραχρῆμα ἀκούειν] πρβλ. «ἐν τῷ παραυτίκα ὁρᾶν» (Β',44,7)=εἰς ἀκρόασιν ὀλιγοχρόνιον. Ὁ Ἑρμογένην ὀβελίζει τὸ ἀκούειν, διότι καὶ ἐν τῷ Λαυρεντιανῷ κώδικι ἐλλείπει καὶ παρὰ Διονυσίῳ τῷ Ἁλικαρνασσεῖ (περὶ Συνθέσ. ὀνομ. σ. 165), ἀλλὰ καὶ ὁ Λουκιανὸς (πῶς δεῖ ἱς. συγγ. 42) γράφει «κτῆμά φησι μᾶλλον συγγράφειν ἢπερ ἐς τὸ παρὸν ἀγώνισμα».—ξύγ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

23. Τῶν δὲ πρότερον ἔργων μέγιστον ἐπράχθη τὸ Μηδικόν, καὶ τοῦτο ὅμως δυοῖν ναυμαχίαιν καὶ πεζομαχίαιν ταχεῖαν τὴν κρίσιν ἔσχεν. Τούτου δὲ τοῦ πολέμου μῆκός τε μέγα προύβη, παθήματά τε ξυνηνέχθη γενέσθαι ἐν αὐτῷ τῇ Ἑλλάδι οἷα οὐχ ἕτερα ἐν ἴσῳ χρόνῳ. Οὔτε γὰρ πόλεις τοσαίδε ληφθεῖσαι ἠρημώθησαν, αἱ μὲν ὑπὸ βαρβάρων, αἱ δ' ὑπὸ σφῶν αὐτῶν ἀντιπολεμούντων (εἰσὶ δ' αἳ καὶ οἰκήτορας μετέβαλον ἁλισκόμεναι), οὔτε φυγαὶ το-

κειται]=συντέθειται, παθ. παρακειμ. τοῦ *συντίθεσθαι*, πρβλ. *«οἱ λογογράφοι ξυνέθεσαν»* (Α',21,1).

Κεφ. 23. *Ἔκθεσις τῶν αἰτίων τοῦ Πελοποννησιακοῦ πολέμου.*

§ 1. *Τῶν δὲ πρότερον ἔργων κ.τ.λ.*] ταῦτα συναπτέα εἰσὶ τῷ κεφ. 21, 2, εἰς ὃ ἐπανέρχεται μετὰ τὴν παρέκβασιν περὶ τοῦ τρόπου τῆς συγγραφῆς (κεφ. 22), κεῖται δὲ συνεπτυγμένως=τῶν δ' ἔργων, ἃ πρότερον ἐπράχθη, μέγιστόν ἐστι τὸ Μηδικόν.—*τὸ Μηδικὸν*] δηλ. *ἔργον*=οἱ Μηδικοὶ πόλεμοι, οὓς ὁ μὲν Ἡρόδοτος νομίζει μείζονας τοῦ Τρωικοῦ πολέμου (Ζ', 20), ὁ δὲ Θουκυδίδης ἑκατέρου μείζονα τὸν Πελοποννησιακόν.—*δυοῖν ναυμαχίαιν καὶ πεζομαχίαιν*] τὸ *δυοῖν* ἐπαναληπτέον καὶ ἐν τῷ *«πεζομαχίαιν»*. Κατὰ μὲν τὸν Σχολ. *«ναυμαχίαι δύο, ἐν Ἀρτεμισίῳ, ἐν Σαλαμῖνι· πεζομαχίαι δύο, ἐν Πύλαις, ἐν Πλαταιαῖς»*. Οὕτω δὲ καὶ ὁ Πλούταρχος (περὶ Ἡροδ. Κακοηθ. 43). Ἄλλοι δὲ νομίζουσι ναυμαχίας μὲν τὴν ἐν Σαλαμῖνι καὶ Εὐρυμέδοντι, πεζομαχίας δὲ τὴν ἐν Πλαταιαῖς καὶ ἐν Μυκάλῃ, ἀλλὰ περὶ τῆς ναυμαχίας ἐν Εὐρυμέδοντι ποταμῷ, ἔνθα αὐτὸς ὁ Θουκυδίδης (Α', 100, 1) λέγει ὅτι ἐγένετο *πεζομαχία καὶ ναυμαχία*, δὲν πρέπει νὰ γίνηται λόγος ἐνταῦθα, ὁ Κρυγῆρος δὲ τὴν ἐν Μυκάλῃ γενομένην μάχην νομίζει ὡς *πεζομαχίαν καὶ ναυμαχίαν*. — *τὴν κρίσιν ἔσχε*] πρβλ. *«αἱ δὲ γενόμεναι τότε πρὸς τὰς τῶν βαρβάρων ναῦς περὶ τὰ στενὰ* (μεταξὺ Εὐβοίας καὶ Πηλίου) *μάχαι κρίσιν μὲν εἰς τὰ ὅλα μεγάλην οὐκ ποίησαν»* (Πλουτ. Θεμις. Η',1)=ταχέως ἐκρίθη, ἡ τύχη (ἡ ἔκβασις) τοῦ ὅλου πολέμου ἀπεφασίσθη, πρβλ. καὶ *«ξυνήθη τὴν δίαιταν μεθ' ὅπλων ἐποιήσαντο»* (Α', 6, 1=ξυνήθως . . ἐδιῃτήθησαν).—*τούτου δὲ τοῦ πολέμου*] δηλ. *τοῦ Πελοποννησιακοῦ* (πρβλ. Α',21,2).—*μῆκός τε μέγα προύβη*] τὸ *μέγα* εἶναι κατηγορούμενον=οὕτω προύβη ὥστε μέγα γενέσθαι. Συνήθως γίνεται τοῦτο ἐν τῷ *αὔξεσθαι*, ὡς *«Φίλιππος μέγας ηὐξήθη»* (Δημ. 2, 5) καὶ *«μέγας ἐκ μικροῦ καὶ ταπεινοῦ Φίλιππος ηὔξηται»* (Δημ. 9,21). Τὸ δὲ *μέγα προύβη*=προεχώρησεν εἰς μέγεθος, πρβλ. καὶ *«χρόνος οὐκ ὀλίγος τῇ μάχῃ προύβη»* (Ἰώσηπ. Πολ. Ἰουδ. Ζ', ς', 5).—*ξυνηνέχθη*]=συνέβη (πρβλ. Ἡροδ. ς', 23.117. Ζ', 4.117. Η', 88).—*ἐν αὐτῷ*] δηλ. *τῷ πολέμῳ*.—*οὐχ ἕτερα*] δηλ. *ξυνηνέχθη*.—*ἐν ἴσῳ χρόνῳ*] ἐν 27 ἔτεσιν (Σχολ.).

§ 2. *ἠρημώθησαν*] δηλ. *πρότερον ἐν ἴσῳ χρόνῳ, ὅσαι ἐν τῷδε τῷ πολέμῳ*.—*ὑπὸ βαρβάρων*] ὡς ἡ *Μυκαλησσὸς* (Ζ',29.πρβλ. καὶ Παυσαν. Θ',19), ἴσως δὲ καὶ ἡ *Κολοφὼν* (Γ', 34).—*ὑπὸ σφῶν αὐτῶν*]=ὑπ' ἀλλήλων, τοιαῦται δὲ ἦσαν αἱ *Πλαταιαί* (Γ', 68), ἡ *Μυτιλήνη* (Γ', 50), ἡ *Θυρέα* (Δ',57).—*ἀντιπολεμούντων*]=πολεμούντων ἐναντίον ἀλλήλων.—*οἰκήτορας μετέβαλον*] δηλ. *ἐν τῷ πολέμῳ τούτῳ*, τοιαῦται δ' ἦσαν ἡ *Λῆγινα* (Β',27), ἡ *Ποτείδαια* (Β',70), τὸ *Ἀνακτόριον* (Δ', 49), ἡ *Σκιώνη* (Ε',32), ἡ *Θυρέα* (Δ',57), τὸ *Σόλλιον* (Β', 30), ἡ *Δῆλος* (Ε', 1) καὶ ἡ *Μῆλος* (Ε',116).—*ἁλισκόμεναι*] ἔχει σημασίαν παρακειμένου=*ἁλωκυῖαι* (ὅρα Γ' Ζηκίδ. Συντ. § 388, 5).—*οὔτε φυγαὶ ἀν-*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σαίδε ἀνθρώπων καὶ φόνος, ὁ μὲν κατ' αὐτὸν τὸν πόλεμον, ὁ δὲ διὰ τὸ στασιάζειν. Τά τε πρότερον ἀκοῇ μὲν λεγόμενα, ἔργῳ δὲ σπανιώτερον βεβαιούμενα οὐκ ἄπιστα κατέστη, σεισμῶν τε πέρι, οἳ ἐπὶ πλεῖστον ἅμα μέρος γῆς καὶ ἰσχυρότατοι οἱ αὐτοὶ ἐπέσχον, ἡλίου τε ἐκλείψεις, αἳ πυκνότεραι παρὰ τὰ ἐκ τοῦ πρίν χρόνου μνημονευόμενα ξυνέβησαν, αὐχμοί τε ἔστι παρ' οἷς μεγάλοι καὶ ἀπ' αὐτῶν καὶ λιμοὶ καὶ ἡ οὐχ ἥκιστα βλάψασα καὶ μέρος τι φθείρασα 3

θρώπων] δηλ. ἐγένοντο ἢ κατέστησαν ἐκ τοῦ ἑπομένου κατέστη (§ 3).—καὶ φόνος] =οὔτε φόνος τοσόσδε ἀνθρώπων ἐγένετο, ἔνθα τὸ φυγαὶ καὶ φόνος ἐνοῦνται οἱονεὶ εἰς ἓν ὅλον διὰ τοῦ καί. Καὶ ἐν τῇ Λατινικῇ μετὰ τὸ neque οὐ μόνον τὸ aut ἢ νε τίθεται, ἀλλὰ καὶ τὸ que. Ἡ δ' ἔκφρασις ἀποβαίνει ζωηροτέρα καὶ ἐνεργητικωτέρα τῆς «οὔτε τοσοίδε ἄνθρωποι ἔφυγον καὶ ἐφονεύθησαν». —κατ' αὐτὸν τὸν πόλεμον] ἡ κατὰ σημαίνει αἰτίαν=δι' αὐτὸν τὸν πόλεμον (Α', 25, 4), ὅπερ συνέβη τοῖς Θηβαίοις ὑπὸ τῶν Πλαταιῶν (Β',5,7), τοῖς Πλαταιεῦσιν ἡττηθεῖσι (Γ', 68,1) καὶ τοῖς Μηλίοις (Ε', 116).—διὰ τὸ στασιάζειν] ὡς ἐν Κορκύρᾳ (Γ',69. κ.ἑ. 81 κ.ἑ. Δ', 48), ἐν Μεγάροις (Δ', 74), ἐν Σάμῳ (Η',24), κτλ.

§ 3. Τά τε πρότερον κτλ.] διὰ τοῦ τὲ συνάπτονται νέαι ἔννοιαι παρὰ Θουκυδίδῃ (ὅρ.στιμ.Α',4),ἐνταῦθα δὲ σημαίνει ὅτι πρὸς τοῖς παρὰ τῶν ἀνθρώπων γινομένοις κακοῖς ὑπῆρχε καὶ ἡ φυσικὴ δυστυχία.—τὰ πρότερον ἀκοῇ λεγόμενα] δηλ. ὅτι ἐγένοντο. —βεβαιούμενα] δηλ. ὅτι τοιαῦτα ἐγένοντο. —οὐκ ἄπιστα κατέστη] =πιστευτὰ κατέστησαν καὶ τὰ λεγόμενα πρότερον ἐκ τοῦ συμβῆναι καὶ ἐν καιρῷ τοῦ πολέμου τούτου τοιαῦτα.— σεισμῶν πέρι] = περὶ σεισμῶν (ὅρα Α', 75,5), περὶ δὲ σεισμῶν ὅρα Β',8,3. Γ',87,4. 89,1.4. Δ',52,1.Ε',45, 4.50,5.Ϛ',95,1. Η',6,5.41,2.—ἐπὶ πλεῖστον μέρος γῆς καὶ ἰσχυρότατοι] συνδέονται διὰ τοῦ καὶ ἀνόμοια μέρη γραμματικῶς, συγγενῆ δὲ κατ' ἔννοιαν.—ἐπέσχον] ἀμεταβ. = κατέσχον, ἐπεκράτησαν πρβλ. «ἐπὶ πλείους ἡμέρας ὁ σεισμὸς ἐπεῖχε» (Δίων Κάσσ. ΞΗ', κε', 5) καὶ «τῶν ἐτησίων ἐπεχόντων» (Πολυβ. Ε', ε', 6) καὶ «τῶν σεισμῶν κατεχόντων» (Θουκ.Γ',89, 2) καὶ«plurimum hiems occupat»(Tacit. Germ. 22). — ἡλίου τε ἐκλείψεις] μετέβαλε τὴν σύνταξιν ἀντὶ τοῦ εἰπεῖν «ἡλίου τε ἐκλείψεων» (πρβλ. Α', 52,2—3), ἐννοεῖται δὲ τὸ «οὐκ ἄπιστοι κατέστησαν», ἐν δὲ τοῖς ἑπομένοις μᾶλλον μόνον τὸ «κατέστησαν» (δηλ. ἐγένοντο). Ὅρα περὶ ἐκλείψεων Β',28.Δ',52,1.—αἳ πυκνότεραι] ὁ Θουκυδίδης δὲν μνημονεύει εἰ μὴ μόνον δύο (Β', 28 καὶ Δ', 52), ὁ δὲ Κλασσήνιος παρατηρεῖ ὅτι ὁ Θουκυδίδης ἑκουσίως παρέλιπε ταύτας ἐν τῇ τοῦ πολέμου διηγήσει καὶ μόνον κατὰ περίστασιν ἐμνημόνευσε τῶν δύο.—παρὰ τὰ...μνημονευόμενα] πρβλ. «χειμὼν μείζων παρὰ τὴν καθεστηκυῖαν ὥραν» (Δ', 6,1), ἡ δὲ παρὰ σημαίνει σύγκρισιν=ἤ. —αὐχμοί]=ξηρασίαι.—ἔστι παρ' οἷς]=παρ' ἐνίοις.—καὶ ἀπ' αὐτῶν καὶ λιμοί] ὁ Θουκυδίδης ἐν τῇ ἱστορίᾳ αὐτοῦ δὲν μνημονεύει οὔτε αὐχμῶν οὔτε λιμῶν προελθόντων ἐξ αὐχμῶν, διάφοροι δ' εἶναι αἱ περιστάσεις τῆς ἁλώσεως πόλεων πολιορκουμένων καὶ πιεζομένων ἐκ λιμοῦ, ὡς τῆς Ποτειδαίας (Β',70) καὶ τῶν Πλαταιῶν (Γ',52). Ὁ δεύτερος καὶ ὁ πρὸ τοῦ λιμοὶ σημαίνει μάλιστα (même) = atque ex illis fames quoque. — μέρος τι] οὐχὶ ἀντικείμενον, ἀλλ' ἐπίρρημα = κατά τι μέρος (aliqua ex parte), ἐν μέρει, πρβλ. «μέρος τι μᾶλλον ἔτι μισοῦμαι» (Β', 64, 1) καὶ «ὃ διὰ τὴν ὕλην μέρος τι ἐγένετο» (Δ', 30, 1).— λοιμώδης νόσος] παρελίπο-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λοιμώδης νόσος· ταῦτα γὰρ πάντα μετὰ τοῦδε τοῦ πολέμου ἅμα ξυνεπέθετο. Ἤρξαντο δὲ αὐτοῦ Ἀθηναῖοι καὶ Πελοποννήσιοι λύσαντες τὰς τριακοντούτεις σπονδὰς αἳ αὐτοῖς ἐγένοντο μετὰ Εὐβοίας ἅλωσιν. Διότι δ' ἔλυσαν, τὰς αἰτίας προύγραψα πρῶτον καὶ τὰς διαφοράς, τοῦ μή τινα ζητῆσαί ποτε ἐξ ὅτου τοσοῦτος πόλεμος τοῖς Ἕλλησι κατέστη. Τὴν μὲν γὰρ ἀληθεστάτην πρόφασιν, ἀφανεστάτην δὲ λόγῳ τοὺς Ἀθηναίους ἡγοῦμαι μεγάλους γιγνομένους καὶ φό-

μεν τὸ ἄρθρον κατὰ Κόβητον, ἄλλοι δὲ θέλουσι νὰ στηρίξωσιν αὐτὸ ἐπὶ ἄλλων χωρίων (Α', 126,4. Ζ', 54. Η', 90,4), ἅτινα εἶναι διάφορα τοῦ παρόντος. Περὶ δὲ τοῦ *λοιμοῦ* ὅρα Β', 48 κ. ἑ. καὶ Γ', 87.—*μετὰ . . ἅμα ξυνεπέθετο*] ἢ τὸ ἅμα ἢ τὸ ξὺν ἠδύνατο νὰ λείπῃ, ἀλλὰ ὅμοια παραδείγματα τοῦ τοιούτου πλεονασμοῦ δὲν λείπουσι, πρβλ. ἐνταῦθ. «*προύγραψα πρῶτον*» (§ 5. πρβλ. καὶ κεφ. 122,4. 133). Τὸ δὲ *ξυνεπέθετο* (μέσ.) λέγεται ἰδίᾳ ἐπὶ ἐχθρικῆς προσβολῆς = ὁρμῇ ἐπέπεσον, ἀλλ' ὁ Βάδαμος γράφει «*ξυνέσπετον*».

§ 4. *τὰς τριακοντούτεις σπονδὰς*] γενομένας τῷ 445 π. Χ. (πρβλ. Παυσαν. Ε', κγ', 3. Διόδωρ. ΙΒ', 7. Ἀνδοκ. 3, 6. Πλούταρχ. Περικλ. ΚΔ') ὅρα Α', 115; 1. — *μετὰ Εὐβοίας ἅλωσιν*] πρβλ. Α', 114; 4. Περὶ δὲ τῆς ἐλλείψεως τοῦ ἄρθρου ὅρα Α', 12,3.

§ 5. *προύγραψα πρῶτον*] καὶ οὐχὶ «*προέγραψα*», διότι τῆς πρὸ προθέσεως τὸ *ὁ* μετὰ τοῦ *ε* ψιλουμένου ἐν τῇ αὐξήσει συναιρεῖται πάντοτε εἰς *ου*, ὡς φαίνεται καὶ ἐξ Ἀττικῶν ἐπιγραφῶν, ἐν αἷς μέχρι τοῦ 329 π. Χ. γίνεται ἀείποτε ἡ συναίρεσις, ἔκτοτε δὲ παρημελήθη. Περὶ τοῦ πλεονασμοῦ ὅρα «*προπέμψαντες πρότερον*» (Α', 29,1), *πρότερον προύσκεπτο* (Η', 66, 1), *πρὶν . . προδιάγνωτε* (Α', 78,1), πρβλ. καὶ Α', 3,1. Περὶ δὲ τοῦ ἀορίστου (=προγράφω) ὅρα τὸ *ξυνέγραψε* (Α', 1,1) —*τοῦ μὴ ζητῆσαι*] γενικὴ τῆς αἰτίας, πρβλ. «*τοῦ τὰς προσόδους μᾶλλον ἶέναι αὐτῷ*» (Α', 4). — *ἐξ ὅτου*]=διὰ τίνα αἰτίαν, πρβλ. *λέξον ἐκ τίνος ἐπλήγης*» (Ξεν. Ἀν. Ε', η', 4), ὅπερ πρβλ. πρὸς τὸ «*λέγειν διὰ τί ἕκαστος ἐπλήγη*» (αὐτ. § 12). —*κατέστη*] ὅρα Α', 1, 1.

§ 6. *τὴν μὲν γὰρ ἀληθεστάτην πρόφασιν*] ὁ γὰρ διασαφητικός. Τὸ δὲ *πρόφασις* διαφέρει τοῦ *αἰτία*, διότι *πρόφασις* εἶναι ἡ προσποιητὴ αἰτία, *αἰτία* δὲ=τὸ ἀληθὲς αἴτιον, ἀλλ' ἐνταῦθα εἶναι συνώνυμα καὶ τὸ *πρόφασις*=αἰτία (πρβλ. Α', 118,1. 133,1. 141,1. Β', 49, 2. Γ', 13,1. Ϛ', 6,1), τὸ δὲ «*τὴν ἀληθεστάτην πρόφασιν, ἀφανεστάτην δὲ λόγῳ*» εἶναι παράθεσις κατὰ τὸν Κλασσήνιον εἰς τὸ «*Ἀθηναίους ἡγοῦμαι . . ἀναγκάσαι ἐς τὸ πολεμεῖν*»=ὅπερ ἡ ἀληθεστάτη ἦν πρόφασις, ἀφανεστάτη δὲ λόγῳ. Κατ' ἄλλους δὲ εἶναι κατηγορούμενον ἐννοουμένου τοῦ εἶναι = (τὸ) Ἀθηναίους μεγάλους γιγνομένους καὶ φόβον παρέχοντας Λακεδαιμονίοις ἀναγκάσαι (Λακεδαιμονίους ὡς ἀντικ.) ἐς τὸ πολεμεῖν ἡγοῦμαι (εἶναι) τὴν ἀληθεστάτην πρόφασιν, ἀφανεστάτην δὲ λόγῳ. Ὁ δὲ Κροάζετος νομίζει συγχώνευσιν δύο φράσεων=τὴν ἀληθεστάτην . . Λακεδαιμονίοις<· οὕτω γὰρ αὐτοὺς ἡγοῦμαι> ἀναγκάσαι (τοὺς Λακεδαιμονίους) ἐς τὸ πολεμεῖν. Καθ' ἡμᾶς δὲ πάντα ταῦτα εἶναι περιττά, ἐὰν ἐξαρτήσωμεν τὸ *ἀναγκάσαι ἐκ τοῦ πρόφασιν*, ὃν κατηγορούμενον, πρβλ. «*ἔλαβον πρόφασιν στρατεύειν ἐπὶ τοὺς Θηβαίους*» (Ξεν. Ἑλλ. Γ', ε', 5), ὅπερ συνηθέστερον τίθεται μετὰ συνάρθρου ἀπαρεμφάτου, ὡς «*αὕτη αὖ ἄλλη πρόφασις ἦν αὐτῷ τοῦ ἀθροίζειν στράτευμα*» (Ξεν. Ἀν. Α', α', 7. πρβλ. καὶ Οἰκ. κ', 19. Ἀθην. Πολ. 6', 17). —*ἀφανεστάτην δὲ λόγῳ*]=κεκρυμμένην (Σχολ.). —*γιγνομένους . . παρέχοντας*] = διότι ἐγίγνοντο . .

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

βον παρέχοντας τοῖς Λακεδαιμονίοις ἀναγκάσαι ἐς τὸ πολεμεῖν· αἱ δ' ἐς τὸ φανερὸν λεγόμεναι αἰτίαι αἵδ' ἦσαν ἑκατέρων, ἀφ' ὧν λύσαντες τὰς σπονδὰς ἐς τὸν πόλεμον κατέστησαν.

24. Ἐπίδαμνος ἐστὶ πόλις ἐν δεξιᾷ ἐσπλέοντι τὸν Ἰόνιον κόλπον· πρόσοι- 1
κοῦσι δ' αὐτὴν Ταυλάντιοι βάρβαροι, Ἰλλυρικὸν ἔθνος. Ταύτην ἀποικίσαν μὲν 2
Κορκυραῖοι, οἰκιστὴς δὲ ἐγένετο Φαλίος Ἐρατοκλείδου, Κορίνθιος γένος, τῶν

παρεῖχον.—ἀναγκάσαι] ὀπτ. αὐτοὺς (Λακεδαιμονίους)· πρβλ. Α', 20, 2. Περὶ τοῦ πράγματος ὅρα Α', 88 καὶ 118. —ἐς τὸ φανερὸν λεγόμεναι] πρβλ. λέγειν (αἰρεῖν) ἐς τὸ κοινὸν (Δ', 58), ἐς τοὺς πολλοὺς (Η', 48, 2). —ἑκατέρων] γενικὴ κτητικὴ κατὰ πρόληψιν ἀντὶ τοῦ «αἱ δ' ἦσαν, ἀφ' ὧν ἑκάτεροι . . κατέστησαν». —ἀφ' ὧν]= ὧν ἕνεκα (ὅρα Α', 12, 2). — κατέστησαν] ὅρα Α', 1, 1.

Κεφ. 24. Ἐνταῦθα λήγει τὸ προοίμιον καὶ ἄρχεται ἡ περὶ Ἐπιδάμνου ἱστορία, ἧς ὁ δῆμος ἀποτυγχάνει αἰτησάμενος βοήθειαν παρὰ τῶν Κορκυραίων.

§ 1. Ἐπίδαμνος ἐστὶ πόλις] Ἐπίδαμνος, «ἣ νῦν Δυρράχιον καλεῖται, ἣν τινα παραγραμματίζοντες Δοράκιον καλοῦσι» (Σχολ.), Durazzo νῦν. Περὶ τοῦ πολέμου μεταξὺ Κορκυραίων καὶ Κορινθίων ἕνεκα τῆς Ἐπιδάμνου ποιεῖται λόγον καὶ ὁ Διόδωρος (ΙΒ', 30 κ. ἑ.). Ἡ δὲ πρόταξις τοῦ ὀνόματος κατὰ τὴν ἀρχὴν τῆς διηγήσεως εἶναι ἐπική, πρβλ. «Κρήτη τις γαῖ' ἔστι μέσῳ ἐνὶ οἴνοπι πόντῳ» (Ὀδ. Τ, 172) καὶ «Φόρκυνος δέ τις ἔστι λιμήν» (Ὀδ. Ν, 96, πρβλ. καὶ Ὀδ. Γ, 293. Δ, 354. 845. Verg. Aen. I, 12. Ovid. Metam. I, 568). Τὸ δὲ ἔστι εἶναι ὑπαρκτικὸν καὶ οὐχὶ συνδετικόν, τὸ δὲ πόλις εἶναι παράθεσις τοῦ Ἐπίδαμνος καὶ οὐχὶ κατηγορούμενον (ὅρα Γ. Ζηκίδ. Συντ. § 83) = ἔστι τις Ἐπίδαμνος, ἥ ἐστι πόλις, πρβλ. «Κύλλων ἦν Ὀλυμπιονίκης» (Α', 126, 3) = ἦν τις Κύλλων, ὃς ἦν Ὀλυμπιονίκης. — ἐσπλέοντι τὸν Ἰόνιον κόλπον] δοτικὴ τῆς ἀναφορᾶς = ὡς πρός τινα ἐσπλέοντα τὸν Ἰόνιον κόλπον, πρβλ. καὶ «sita Anticyra est laeva parte sinum Corinthium intrantibus» (Livi. XXVI. 26), πρβλ. καὶ Β', 97, 1. Δ', 16, 6. Τὸ εἰς τὸν κόλπον ἐνταῦθα μόνον συνέταξεν αἰτιατικῇ, ἐν ᾧ ἀλλαχοῦ μετὰ τῆς ἐς προθέσεως. ὡς «ἐσπλεύσαμαι ἐς αὐτὸν» (Β', 89, 8. κτλ.), ἀλλ' ὁ Δημήτριος ἢ Ψευδοδημήτριος (Spengel T. Γ', σ. 306) ἀνέγνω «ἐς τὸν Ἰόνιον κόλπον», οὕτω δὲ γράφει καὶ ὁ Κρυγῆρος, πρβλ. ὅμως Προκόπιον, ὅστις ταῦτα ἀντέγραψε (Β', σ. 37) καὶ ἐμιμήθη (σ. 62 καὶ Α', σ. 309). Ὁ δὲ Ἰόνιος κόλπος εἶναι ἡ Ἀδριατικὴ θάλασσα ἢ πᾶσα ἢ μέρος αὐτῆς (Στράβ. Β', 20, σ. 123. Ἀγαθ. Β', 1) πρὸς μεσημβρίαν βλέπων (πρβλ. Ϛ', 13, 1). Οὐδάμου δὲ παρὰ Θουκυδίδῃ φέρεται τὸ ὄνομα Ἀδρίας. — προσοικοῦσι δ' αὐτὴν] συντάσσεται αἰτιατικῇ, ὡς τὸ accolere locum, ἀντὶ τῆς μετὰ δοτικῆς συνηθεστέρας συντάξεως (ὅρα Ἰσοκρ. 4, 70. Πλάτ. Τίμ. 22, δ'). — Ταυλάντιοι] πρβλ. «τῆς Ἐπιδάμνου καὶ τῆς Ἀπολλωνίας μέχρι τῶν Κεραυνίων ὑπεροικοῦσι Βυλλίονές τε καὶ Ταυλάντιοι καὶ Παρθῖνοι καὶ Βρύγοι» (Στράβ. Ζ', 8, σ. 326).

§ 2. ταύτην ἀποίκισαν] ἀσύνδετον, ὅπερ συχνάκις γίνεται ἐπὶ τῶν δεικτικῶν ἀντωνυμιῶν καὶ ἐπιρρημάτων (ὅρα Γ. Ζηκίδ. Συντ. § 600, 4) — ἀποικίαν πέμψαντες ᾤκισαν (Σχολ.). Ἐγένετο δ' αὐτὴ τῷ 627 π. Χ., ὡς μαρτυρεῖ ὁ Εὐσέβιος. — Φαλίος] κύριον ἐκ τοῦ ἐπιθέτ. φαλιὸς (=φωτεινός, Ἡρῳδιαν. 1, 123, 17), πρβλ. καὶ Γογγύλος ἐκ τοῦ γόγγυλος (αὐτ. 1, 164, 4). ὅρα καὶ Stahl Quaest. Gramm. σ. 33. — Ἐρατοκλείδου] ἀντὶ τοῦ «ὁ Ἐρατοκλείδου». Περὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἡρακλείδαι. Ἡρακλέους, κατὰ δὴ τὸν παλαιὸν νόμον ἐκ τῆς μητροπόλεως κατακληθείς, Ξυνῴκισαν δὲ καὶ Κορινθίων τινὲς καὶ τοῦ ἄλλου Δωρικοῦ γένους. Προελθόν- 2
τος δὲ τοῦ χρόνου ἐγένετο [ἡ τῶν Ἐπιδαμνίων πόλις] μεγάλη καὶ πολυοίκη- 3
πος. Στασιάσαντες δὲ ἐν ἀλλήλοις ἔτη πολλά, ὡς λέγεται, ἀπό τινος πολέμου τῶν προσοίκων βαρβάρων, ἐφθάρησαν καὶ τῆς δυνάμεως τῆς πολλῆς ἐστερήθησαν. Τὰ δὲ τελευταῖα, πρὸ τοῦδε τοῦ πολέμου, ὁ δῆμος αὐτῶν ἐξεδίωξε τοὺς 5
δυνατούς. Οἱ δὲ ἐπελθόντες μετὰ τῶν βαρβάρων ἠλῄζοντο τοὺς ἐν τῇ πόλει κατά τε γῆν καὶ κατὰ θάλασσαν. Οἱ δὲ [ἐν τῇ πόλει ὄντες Ἐπιδαμνιοι] ἐπειδὴ 6
ἐπιέζοντο, πέμπουσιν ἐς τὴν Κόρκυραν πρέσβεις ὡς μητρόπολιν οὖσαν, δεόμενοι μὴ σφᾶς περιορᾶν φθειρομένους, ἀλλὰ τούς τε φεύγοντας ξυναλλάξαι σφίσι

τῆς παραλείψεως τοῦ ἄρθρου πρβλ. Β', 67, 2. 99, 6. Η', 91, 2. —*τῶν δὴ Ἡρακλέους*] = τῶν Ἡρακλειδῶν, πρβλ. «*Ἀρχίας τῶν Ἡρακλειδῶν ἐκ Κορίνθου ᾤκισε*» (Ϛ', 3, 2). — *κατὰ δὴ τὸν παλαιὸν νόμον*] πρβλ. καὶ Προκόπιον «*κατὰ δὴ τὸν παλαιὸν λόγον*» (σ. 120 καὶ 134), ἔνθα ὁ δὴ = ἀκριβῶς κατὰ τὸν γνωστὸν παλαιὸν νόμον. — *ἐκ τῆς μητροπόλεως*] διότι ἡ Κόρινθος ἦν μητρόπολις τῆς Κορκύρας. — *κατακληθείς*] = προσκληθείς (πρβλ. Πολυδ. Κϛ', ε', 1. Πλούταρχ. Σόλ. ΚΔ'. Θεμις. Γ''), ὁμοίαν δὲ σημασίαν ἔχει ἡ κατὰ ἐν τῷ «*ἐς κίνδυνον φανερὸν τὴν πόλιν καταγαγεῖν*» (Θουκ. Δ', 68, 6), ἄνευ ἃ ἀνάγκης ὁ Ἐρουερδὴν εἰκάζει νὰ γραφῇ «*παρακληθείς*». — *ξυνῴκισαν δὲ*] ὅηλ. ταύτην, ἀντιτίθεται δὲ πρὸς τὸ «*ἀπῴκισαν μέν*» (§ 1).

§ 3. [*ἡ τῶν Ἐπιδαμνίων πόλις*] εἶναι σχόλιον (Στάλλιος). — *στασιάσαντες*] ὅηλ. οἱ Ἐπιδάμνιοι. Μεταβαίνει ἀπὸ τῆς πόλεως εἰς τοὺς κατοίκους. Ὁ δὲ ἀόριστος τίθεται μετὰ διαρκοῦς σημασίας (πρβλ. Α', 13, 6). — *ἐν ἀλλήλοις*], πρβλ. καὶ «*στασιάζουσιν ἐν αὐτοῖς*» (Δημ. 9, 12), λέγεται δὲ καὶ «*στασιάζουσιν ἀλλήλοις*» (Ἰσοκρ. 4, 104. κτλ.) καὶ *πρός τινα* (Ξεν. Ἑλλ. Α', α', 28. Δημ. 23, 114) καὶ «*ἐπ' ἀλλήλοισι*» (Ἡροδ. Α', 60) καὶ «*καπ' ἀλλήλους*» (Θουκ. Δ', 84, 2).

§ 4. *ὡς λέγεται*] κατὰ Κλασσήνιον εἰς τὸ «*μετὰ πολλά*», κατὰ δὲ Κρυγῆρον εἰς τὸ «*ἀπὸ πολέμου*». — *ἀπὸ πολέμου . . ἐφθάρησαν*] ἡ *ἀπό* σημαίνει αἰτίαν (πρβλ. Α', 12, 2. 23, 6). Ὁ Ἀρνόλδος καὶ ἄλλοι κακῶς συνάπτουσι τὸ «*ἀπὸ πολέμου*» τῷ στασιάσαντες, πρβλ. καὶ «*ἐξ ὧν ἐφθείροντο*» (Α', 2, 4). — *τῶν προσοίκων βαρβάρων*] γενικὴ ἐξ ἀντικειμένου, πρβλ. «*ἐς τὸν παρόντα πόλεμον Κορινθίων*» (Α', 32, 4)· «*μὴ χρηστηριάζεσθαι τοὺς Ἕλληνας ἐφ' Ἑλλήνων πολέμῳ*» (Ξεν. Ἑλλ. Γ', 6', 22) = καθ' Ἑλλήνων.

§ 5. *Τὰ δὲ τελευταῖα*] = ἐν τέλει δέ, τέλος, πρβλ. «*τὰ τελευταῖα εἰς Μαραθῶνα ἀπέβη*» (Δημ. 4, 34), πρβλ. καὶ Η', 85, 3. — *ἐξεδίωξε*] λέξις σπανία καὶ μόνον ἐνταῦθα παρὰ Θουκυδίδῃ. — *τοὺς δυνατούς*] = τοὺς ἀριστοκρατικούς. — *ἐπελθόντες*] κατὰ διόρθωσιν Ἀασίου ἀντὶ τοῦ ἐν τοῖς χειρογράφοις «*ἀπελθόντες*» (Lucubr. Thuc. σ. 60), οἱ δὲ διατηροῦντες τὸ «*ἀπελθόντες*» ἐννοοῦσι τὸ «*ἐκ τῆς πόλεως πρὸς τοὺς βαρβάρους*».

§ 6. *Οἱ δὲ* [*ἐν τῇ πόλει ὄντες Ἐπιδάμνιοι*] *ἐπειδὴ*] ὠβελίσαμεν τὰς λέξεις «*ἐν τῇ πόλει ὄντες Ἐπιδάμνιοι*» κατὰ Κόβητον σχόλιον οὖσας. — *ὡς μητρόπολιν οὖσαν*] = νομίζοντες ταύτην εἶναι μητρόπολιν (πρβλ. Α', 20, 2). — *περιορᾶν φθειρομένους*] τὸ περιορῶ μετ' ἀπαρεμφάτου μὲν συντασσόμενον = οὐ κωλύω, ἐπιτρέπω (Α', 35, 4.

καὶ τὸν τῶν βαρβάρων πόλεμον καταλῦσαι. Ταῦτα δὲ ἱκέται καθεζόμενοι ἐς 7
τὸ Ἥραιον ἐδέοντο. Οἱ δὲ Κόρκυραῖοι τὴν ἱκετείαν οὐκ ἐδέξαντο, ἀλλ' ἀπράκτους ἀπέπεμψαν.

25. Γνόντες δὲ οἱ Ἐπιδάμνιοι οὐδεμίαν σφίσιν ἀπὸ Κορκύρας τιμωρίαν 1
οὖσαν ἐν ἀπόρῳ εἶχοντο θέσθαι τὸ παρὸν καὶ πέμψαντες ἐς Δελφοὺς τὸν θεὸν
ἐπήροντο εἰ παραδοῖεν Κορινθίοις τὴν πόλιν ὡς οἰκισταῖς καὶ τιμωρίαν τινὰ

36,3.Β',20,2), μετὰ μετοχῆς δὲ ἀνέχομαί τι γινόμενον, ἀδιαφόρως, ἀπαθῶς βλέπω. (Α',25.2.Β',18,5.20,4). Ἐνταῦθα δὲ μεταχειρίζεται ἐνεστῶτα περιφρᾶσαι σημαίνοντα κατάστασιν διαρκῆ, μετ' ὀλίγον δὲ ἀόριστον ξυναλλάξαι καὶ καταλῦσαι σημαίνοντα κατάστασιν ἀκαριαίαν. — τοὺς φεύγοντας] ἐνεστὼς μετὰ σημασίας παρακειμένου = τοὺς φυγάδας (πρβλ. Α', 26, 3. 113,1.Γ',85,2), ἦσαν δ' οὗτοι ἀριστοκρατικοί, οὓς ἐκάλεσε πρότερον δυνατοὺς (§ 5). — σφίσι] ὁηλ. τοῖς ἐν τῇ πόλει Ἐπιδαμνίοις. — τὸν τῶν βαρβάρων πόλεμον] γενικὴ ἐξ ἀντικειμένου = τὸν κατὰ τῶν βαρβάρων πόλεμον (ὥρα ἀνωτ. § 4) = ὃν πόλεμον αὐτοὶ ἐπολέμουν βαρβάροις. Πρβλ. Α',32,4.

§ 7. *Ταῦτα . . ἐδέοντο*] σύστοιχον ἀντικείμ. = ταύτας τὰς δεήσεις ἐδέοντο. — *καθεζόμενοι ἐς τὸ Ἥραιον*] ἀόριστος, ἐκαθέζοντο δὲ ἱκέται εἰς τὸ ἱερὸν καὶ εἰς τοὺς βωμούς (Α',126,10.136,3.Γ', 28,2.70,5. 75,3), συνῆπτον δ' οἱ Ἕλληνες ὡς ἐπὶ τὸ πολὺ τὸ καθέζεσθαι μετὰ τῆς ἐς, ἐπί, πρός, ἀλλὰ καὶ μετὰ τῆς ἐν (Α',126,11). Περὶ δὲ τοῦ Ἥραίου ὥρα Γ',75,5. — *ἀπράκτους*] μετ' ἐνεργ. σημασίας = οὐδὲν πράξαντας.

Κεφ. 25. *Οἱ Ἐπιδάμνιοι καταφεύγοντες εἰς Κορινθίους τυγχάνουσι τῆς αἰτηθείσης βοηθείας.*

§ 1. *σφίσιν*] = ἑαυτοῖς (ὁηλ. τοῖς Ἐπιδαμνίοις). — *τιμωρίαν*] = βοήθειαν (πρβλ. καὶ μικρ. ὀπισθ. § 3. καὶ 38,6.58,1.69,5). — *οὖσαν*] ὁ Ναβῆρος «οἰοῦσαν». — *ἐν ἀπόρῳ εἶχοντο*] τὸ *ἐν ἀπόρῳ ἢ ἐν ἀπορίᾳ* (Ἡροδ.Δ',131) ἔχεσθαι = ἀπορίᾳ ἔχεσθαι ἢ ἐν ἀπορίᾳ εἶναι, πρβλ. «ἐν ἀπόρῳ ἦσαν εἰφάσαι τὸ γιγνόμενον» (Γ',22,6) = ἠδυνάτουν. — *θέσθαι τὸ παρόν*] πρβλ. καὶ Προκόπ. Βανδ. Ι, σ. 102 «ἐν ἀπόρῳ εἶχον θέσθαι τὰ παρόντα», τὸ δὲ *θέσθαι* = βαλεῖν εἰς τάξιν, οἰκονομῆσαι, διευθετῆσαι = lat. componere (Horat. Od.III,29,32), πρβλ. «ὅπως μὴ σφίσιν ἐμπόδιον γένηται θέσθαι τὸν πόλεμον ἢ βούλονται» (Α', 31, 3) πρβλ. καὶ Ε',80,1. Εἶναι δὲ μέσον ὠφελείας = θεῖναι ἑαυτοῖς. Τὸ δὲ «τὸ παρόν» εἶναι ὀλιγώτερον εὐχρηστον τοῦ «τὰ παρόντα» = τὴν παροῦσαν κατάστασιν τῶν πραγμάτων, τὰ παρόντα πράγματα. — καὶ *πέμψαντες*] ὁ καὶ εἶναι ἀκολουθίας σημαντικὸς = καὶ διὰ τοῦτο. — *ἐπήροντο*] τὸ ἐπερωτᾶν = ἐρωτᾶν τινα χάριν συμβουλῆς, ἐρωτῶ ἵνα μάθω. — *εἰ παραδοῖεν Κορινθίοις τὴν πόλιν*] = ἂν ἔπρεπε νὰ παραδώσωσι Κορ. τὴν πόλιν. Εἶναι δὲ λόγος πλάγιος ἐρωτηματικός, οὗ ὁ εὐθὺς θὰ ἦτο· «παραδῶμεν Κορινθίοις τὴν πόλιν»; πρβλ. «ὁ Κλέαρχος ἐβουλεύετο, ἢ πέμποι τινὰς ἢ πάντες ἴοιεν ἐπὶ τὸ στρατόπεδον» (Ξεν. Ἀν.Α',ι',5). — *ὡς οἰκισταῖς*] οὐχ ὅτι ἀληθῶς Κορίνθιοι αὐτοὺς ᾠκισαν, ἀλλ' ἐφ' ὅσον ὁ οἰκιστὴς Ψαλίος Κορίνθιος ἐγένετο (Σχολ.). — *τιμωρίαν ποιεῖσθαι*] ἀλλαχοῦ μὲν = βοηθεῖν (Α', 124, 1), ἐνταῦθα δὲ = ἑαυτοῖς βοήθειαν ποιεῖν, παρασκευάζειν, περίζεσθαι, πρβλ. κλέος ποιεῖσθαι ('Οδ. Β, 126), τὸν βίον ποιεῖσθαι (Θουκ. Α', 5, 1. Ξεν. Οἰκ. Ϛ', 11). Ὁ Κόβητος δὲ γράφει «τιμωρίαν περίζεσθαι», ὅπερ ἐδέξατο καὶ ὁ Ἑρουερδήν, διότι λέγεται «περίζημαι θύναμιν, ὠφέλειαν, βοήθειαν, ἐπικουρίαν, τιμωρίαν».

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πειρῶντο ἀπ' αὐτῶν ποιεῖσθαι. Ὁ δ' αὐτοῖς ἀνεῖλε παραδοῦναι καὶ ἡγεμόνα ποιεῖσθαι. Ἐλθόντες δὲ οἱ Ἐπιδάμνιοι ἐς τὴν Κόρινθον κατὰ τὸ μαντεῖον τὸ ἐν Δελφοῖς ἐχρήσαντο τῷ θεῷ ἐπερωτῶντες περὶ τῆς παραδόσεως καὶ εἰ καλῶς ποιοῦντες δίδοσαν τὴν ἀποικίαν, τόν τε οἰκιστὴν ἀπόδειξιν ἐροῦντες ἐκ Κορίνθου ὄντα. ἡ δὲ ἀνεῖλεν αὐτοῖς καὶ ἐς τὴν Ἰαπυγίαν ἐλθοῦσι κτίζειν καὶ τὸ χρηστήριον ὀπίσω ἰοῦσιν ἐπαμῦναι. Κορίνθιοι δὲ κατὰ τε τὸ δίκαιον ὑπεδέξαντο τὴν τιμωρίαν, νομίζοντες οὐχ ἧσσον ἑαυτῶν εἶναι τὴν ἀποικίαν ἢ Κορκυραίων, ἅμα δὲ καὶ μίσει τῶν Κορκυραίων, ὅτι αὐτῶν παρημέλουν, ὄντες ἄποικοι, οὔτε γὰρ ἐν πανηγύρεσι ταῖς κοιναῖς ἐδίδοσαν τὰ νομιζόμενα οὔτε Κορινθίῳ ἀνδρὶ προκατάρχειν τῶν βωμείων τὸ ἐναντίον κατὰ τὸ πάτριον ἤθελον, ἀλλὰ καταφρονοῦντες ἐποίουν.

—αὐτοῖς] = τοῖς Κορινθίοις. συναπέσον δὲ τῷ παραδοῦναι. —ἡγεμόνας ποιεῖσθαι] δηλ. τοὺς Κορινθίους ποιεῖν ἑαυτοῖς ἡγεμόνας.

§ 2. κατὰ τὸ μαντεῖον] = κατὰ τὸ μάντευμα (Σχολ.), κατὰ τὸν χρησμόν. τὴν ἀπόκρισιν τοῦ θεοῦ. — παρέδοσαν τὴν ἀποικίαν] δηλ. τοῖς Κορινθίοις. Ἐγένετο δὲ ἡ παράδοσις τῷ 436 π. Χ. — σφῶν] γενικὴ κτητικὴ τοῦ οἰκιστήν = ἑαυτῶν (δηλ. τῶν Ἐπιδαμνίων). —τὸ χρηστήριον] = ἀπόκρισις θεοῦ, χρησμός (πρβλ. καὶ Ἡροδ. Α', 63, Η', 114, Εὐρ. Ἴων 532, Λυκοῦρ. Λεωκρ. 85). —ἐδέοντό τε] = καὶ διὰ τοῦτο ἐδέοντο (ὅρα Α', 9, 1). —μὴ περιοράν ψθειρομένους] καὶ οὐχὶ «διαφθειρομένους» ἐπανάληψις ἐν τοῦ προηγουμένου (Α', 24, 6). —ἐπαμῦναι] κατ' ἀόριστον (πρβλ. Α', 24, 6] = βοηθῆσαι.

§ 3. κατά τε τὸ δίκαιον] = κατὰ τὸ δικαίων αὐτοῖς δίκαιον· ἐνόμιζον γὰρ αὐτῶν μᾶλλον εἶναι τὴν ἀποικίαν (Σχολ.) = καὶ διὰ τὸ δίκαιον. —ὑπεδέξαντο] = ὑπέστησαν, ἀνέλαβον, ὑπέσχοντο τὴν βοήθειαν. — νομίζοντες] αἰτιολογεῖ τὸ «κατὰ τὸ δίκαιον». —ἅμα δὲ καὶ] ἀναφέρεται εἰς τὸν τε (κατά τε τὸ δίκαιον), δι' ὧν συνδέεται ἐμπρόθετος αἰτιατικὴ καὶ δοτικὴ αἰτιολογική (πρβλ. Ϛ', 83, 1). —μίσει τῶν Κορκυραίων] γενικὴ ἐξ ἀντικειμένου = μισοῦντες τοὺς Κορκυραίους. —ὅτι παρημέλουν] αἰτιολογεῖ τὸ «μίσει». Περὶ δὲ τοῦ πράγματος ὅρα Ἡροδ. Γ', 49. Τὸ δὲ παραμελεῖν λέξις σπανία, ἧς ἡ παρὰ σημαίνει περιφρόνησιν, (ὡς παροράω, παραβλέπω, παρατρέχω), κατὰ δὲ τὸν Βοιμέλιον τὸ ἐναντίον κατὰ τὸ παρ[illegible] νοεῖν, παρανομεῖν, κτλ. (Proleg. Gram[illegible] ad Demosth. p. 76). —ὄντες ἄποικοι] [illegible] δοτικὴ μετοχὴ εἰ καὶ οἱ Κορκυραῖοι ἦσ[illegible] ἄποικοι αὐτῶν, εἰ καὶ αὐτοὶ Κορκυραῖ[illegible] ἀπῴκισαν.

§ 4. οὔτε γὰρ ἐν πανηγύρεσι . . . διδόντες] ἐνταῦθα εἶναι ἀνακολουθία, διότι [illegible] ξάμενος ὁ συγγραφεὺς ἀπὸ τῶν μετοχ[illegible] διδόντες (δηλ. οἱ Κορκυραῖοι), προκατε[illegible] χόμενος διὰ τὸ μῆκος τῆς περιόδου καὶ [illegible] τὴν παρένθεσιν «ἡ ... παλεμεῖν» δὲν ἔθηκ[illegible] τὸ καταλληλον ῥῆμα καὶ διὰ τοῦτο ἠναγκ[illegible] σθη νὰ ἐπαναλάβῃ τὴν ἔννοιαν [ἐν κεφ. 2[illegible] διὰ τοῦ «πάντων οὖν τούτων». Ὁ δὲ σχ[illegible] λιαστὴς καὶ ὁ Κυννῆρος (Γραμμ. § 493 [illegible] σημ. 3) ἐννοοῦσιν ἀπὸ καινοῦ τὸ «παρ[illegible] μέλουν». Ὁ δὲ Βάδαμος καὶ ὁ Ἐρμερδὴν γράφοντες ὑποστιγμὴν μετὰ τὸ ἄποικοι [illegible] θελκύουσι τὸ γάρ. — ἐν πανηγύρεσι εἰσ[illegible] καιναῖς] = ἐν Ὀλυμπίοις, Νεμέοις καὶ τοι[illegible] τοιούτοις ἀγῶσιν (Σχολ.). Ἴσως ὀρθότερ[illegible] εἶναι κατὰ τὸν Γοΐλλερον νὰ σημαίνῃ κοιν[illegible] πανηγύρεις τῆς μητροπόλεως καὶ τῆς ἀπο[illegible] κίας· διότι οἱ ἄποικοι ἔπεμπον θεωρο[illegible] μετὰ ἱερείων εἰς τὰς μητροπόλεις ἐν τισ[illegible] ἑορταῖς (Διόδωρ. ΙΒ', 30, 4). —γέρα τὰ [illegible] μιζόμενα] = τὰς τιμὰς καὶ προνόμια (Σχ[illegible] λιαστ., πρβλ. καὶ Διόδωρον τὸν Κερκ[illegible] ραίους μισοῦντες διὰ τὸ μόνους τῶν ἀπο[illegible] κων μὴ πέμπειν τὰ κατειθισμένα ἱερεῖα [illegible] τῇ μητροπόλει» (ΙΒ', 30, 4). ἀλλ' ὁ μ[illegible] Ἐρμερδὴν εἰκάζει ὅτι ὁ Διόδωρος παρ[illegible] Θουκυδίδῃ ἀνέγνω ἄλλο ἢ τὸ «γέρα», ὁ δ[illegible]

χόμενοι τῶν ἱερῶν, (ὥσπερ αἱ ἄλλαι ἀποικίαι,) περιφρονοῦντες δὲ αὐτοὺς καὶ χρημάτων δυνάμει ὄντες κατ' ἐκεῖνον τὸν χρόνον ὁμοίως τοῖς Ἑλλήνων πλουσιωτάτοις καὶ τῇ ἐς πόλεμον παρασκευῇ δυνατώτεροι, ναυτικῷ δὲ καὶ πολὺ προέχειν ἔστιν ὅτε ἐπαιρόμενοι καὶ κατὰ τὴν τῶν Φαιάκων πρόνοιαν τῆς

Κόβητας μεταβάλλει τὸ τοῦ Διοδώρου ἱερεῖα εἰς τὸ «γέρα».—*οὔτε Κορινθίῳ ἀνδρὶ προκαταρχόμενοι τῶν ἱερῶν*] κατά τινας μὲν—οὔτε Κορινθίῳ ἀνδρὶ τὰς ἀπαρχὰς τῶν θυμάτων ἀπονέμοντες, ἵνα οὗτος ταύτας ἐπὶ τοῦ βωμοῦ τῶν θεῶν καύσῃ, πρβλ. καὶ Σχολ.—*διδόντες τὰς καταρχάς.* Ἦσαν δὲ αὗται προκαταρκτικαὶ τῆς θυσίας πράξεις, ἤτοι ἡ ἀποκοπὴ τῶν τριχῶν ἐκ τοῦ μετώπου τοῦ θύματος καὶ ἡ διανομὴ αὐτῶν εἰς τοὺς ἐν τῇ θυσίᾳ παρόντας (πρβλ. Ἰλ. Γ, 273 κ. ἑ.), ἐγίνετο δ' αὕτη, ὅτε παρῆν ἀνὴρ ἐκ τῆς μητροπόλεως ἐν τῇ θυσίᾳ, τιμῆς ἕνεκα πρῶτον εἰς αὐτὸν καὶ εἶτα εἰς τοὺς ἄλλους. Ἀλλὰ τοῦτο παρὰ τοῖς παλαιοῖς ἐλέγετο *ἀπάρχεσθαι*, οὐχὶ δὲ *κατάρχεσθαι*, πρβλ. «*χέρνιβά τ' οὐλοχύτας τε κατήρχετο, πολλὰ δ' Ἀθήνῃ εὔχετ' ἀπαρχόμενος κεφαλῆς τρίχας ἐν πυρὶ βάλλων*» (Ὀδ. Γ, 445—446. πρβλ. καὶ Ὀδ. Ξ, 422). Κατ' ἄλλους δὲ ἡ δοτικὴ «*Κορινθίῳ ἀνδρὶ*» εἶναι δοτικὴ τοῦ μέσου (ὅρα Γ. Ζηκίδ. Συντ. § 131) — *οὔτε δι' ἀνδρὸς Κορινθίου ποιούμενοι τὰς ἀρχὰς τῶν θυσιῶν*—*οὔτε ἐν ταῖς θυσίαις ἄνδρα Κορίνθιον ἡγεμόνα μεταχειριζόμενοι, διότι *κεῖθεν* ἦν ἀρχιερέας ἐκ τῆς μητροπόλεως λαμβάνειν*» (Σχολ.), πρβλ. καὶ «*αὐτῇ προκαταρχόμενοι*» (Ἀππιαν. Α', 110—*τῇ ἐλάφῳ τοῦ Σερτωρίου ὡς ἡγεμόνι χρώμενοι*). Περὶ τοῦ *κατάρχομαι* πρβλ. καὶ Ἡροδ. Β', 45. Δ', 60. 103. Ἀριστοφ. Ὄρν. 959. Εὐρ. Ἰφ. Τ. 40).—*ὥσπερ αἱ ἄλλαι ἀποικίαι*] ἤγ. *προκατήρχοντο τῶν ἱερῶν ἀνδρὶ τῆς μητροπόλεως.*—*περιφρονοῦντες δὲ αὐτούς*] — ὑπερφρονοῦντες αὐτούς (Ἀριστοφ. Νεφ. 225. 1503), πρβλ. Σουίδ. ἐν λ. καὶ Ἡσύχ. «*περιφρονεῖς, περισσοφρονεῖς, ὑπερφρονεῖς*». Ὁ δὲ Βάδαμος ὀβελίζει τὸ «*αὐτούς*».—*καὶ χρημάτων δυνάμει ὄντες*] ἀντὶ τοῦ *καὶ* ὁ Οὐννέκιος καὶ ὁ Κλασσήνιος γράφουσι *κἂν* (=καὶ ἐν), ὁ δὲ Βάδαμος ὀβελίζει τὸ ὄντες· καὶ ὁ Ἔρψιος γράφει «*καὶ χρημάτων πλήθει δυνατοὶ ὄντες*». Διὰ δὲ τοῦ *καὶ* συνδέεται (ὅπως τὸ *καὶ ἐλπίσας* Α', 1, 1) ἡ αἰτιολογικὴ μετοχὴ *ὄντες*, ἥτις αἰτιολογεῖ τὸ *περιφρονοῦντες*. Εἶναι δὲ ἡ δοτικὴ *δυνάμει* δοτικὴ δυναμική τοῦ *ὁμοῖα* (ὅρα Γ. Ζηκίδ. Συντ. § 133), ὅπερ ἔχει καὶ ἑτέραν δοτικὴν κοινωνικὴν τὴν «*πλουσιωτάτοις*»—ὁμοῖα κατὰ τὴν ἐκ χρημάτων γιγνομένην δύναμιν (πρβλ. Α', 38, 5 «*ἐξουσία πλούτου*») πρὸς τοὺς πλουσιωτάτους. πρβλ. καὶ «*χρημάτων δύναμιν προσληψόμεθα*» (Α', 82, 1) καὶ Ἡροδ. Ζ', 9.—*ὁμοῖα τοῖς Ἑλλήνων πλουσιωτάτοις*] πρβλ. «*θησαυρὸς ἀνακέεται ὁμοῖα τοῖσι πλουσιωτάτοισι*» (Ἡροδ. Γ', 57, 2—ὁμοῖα τοῖς τῶν πλουσιωτάτων)—ὁμοῖα τῇ (δυνάμει) τῶν πλουσιωτάτων Ἑλλήνων. Ἀνευ ἀνάγκης ὁ Στάλλιος ἔγραψεν «*ὁμοίᾳ*», ὁ δὲ Κράτζιος ἀντὶ τοῦ *ὁμοῖα* τὸ «*ὁμοίως*». Τὸ οὐδέτερον *ὁμοῖα*—*ὁμοίως* (πρβλ. καὶ Ζ', 29, 4).—*τῇ ἐς πόλεμον παρασκευῇ*] — *τῇ πολεμικῇ παρασκευῇ*. Εἶναι δὲ δοτικὴ δυναμικὴ τοῦ «*δυνατώτεροι*» (ὄηλ. τῶν Ἑλλήνων).—*ἔστιν ὅτε ἐπαιρόμενοι*] ὁ Βάδαμος γράφει «*ἐς τότε*» (=μέχρι τότε). Τὸ δ' *ἐπαίρομαι* (=καυχῶμαι) σπανίως συντάσσεται ἀπαρεμφάτῳ, —*καὶ κατὰ τὴν τῶν Φαιάκων προοικείαν τῆς Κορκύρας*] ὁ Βάδαμος ὀβελίζει τὸν *καί*, ἡ δὲ κατὰ σημαίνει αἰτίαν (πρβλ. Α', 23, 1. Ε', 43, 2). Ἐκ δὲ τῶν δύο γενικῶν ἡ μὲν γενικὴ τῶν *Φαιάκων* εἶναι γενικὴ ἐξ ὑποκειμένου, ἡ δὲ τῆς *Κορκύρας* γενικὴ ἐξ ἀντικειμένου—οἱ Φαίακες προε-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κορκύρας κλέος ἐχόντων τὰ περὶ τὰς ναῦς (ἢ καὶ μᾶλλον ἐξηρτύοντο τὸ ναυτικὸν καὶ ἦσαν οὐκ ἀδύνατοι· τριήρεις γὰρ εἴκοσι καὶ ἑκατὸν ὑπῆρχον αὐτοῖς, ὅτε ἤρχοντο πολεμεῖν)· 26 πάντων οὖν τούτων ἐγκλήματα ἔχοντες οἱ Κορίνθιοι ἔπεμπον ἐς τὴν Ἐπίδαμνον ἄνδρας φρουρούς καὶ ἑκατὸν Ἀμπρακιωτῶν καὶ Λευκαδίων καὶ ἑαυτῶν ὁπλίτας. Ἐπορεύθησαν δὲ πεζῇ ἐς Ἀπολλωνίαν, Κορινθίων οὖσαν ἀποικίαν, ὅδει τῶν Κορκυραίων μὴ κωλύωνται· νομίζουσι γὰρ οὐκ ἐπιτρέπειν σφίσιν ἐκ τῆς ἠπείρου ἐπὶ τὴν νῆσον διαβαίνειν, ἐπειδὴ καὶ ἐκείνους οὐκ ἐπιτρέπειν ἐκ τῆς νήσου ἐπὶ τὴν ἤπειρον. ἐπεμπον δὲ καὶ ἐς Κεφαλληνίαν ἐπὶ τὴν ἑαυτῶν ξυμμαχίαν. ἐπεμπον δὲ καὶ ἐς Λευκάδα, ἀποικίαν οὖσαν καὶ αὐτὴν Κορινθίων, καὶ ἐδήλουν ἃ παρεσκευάζοντο· καὶ ἐκέλευον, εἰ βούλοιντο, καὶ τούτοις ἅμα ἕπεσθαι. αἱ δὲ πόλεις αὗται ἐκ τῆς Κορίνθου ἐκπεμφθεῖσαι ἐπορεύοντο ἐπὶ τὸν ἰσθμὸν καὶ ἐν Ἀκτίῳ τοῦ Ἀμβρακικοῦ κόλπου ἐφύλασσον τὸ στόμα τοῦ Κορινθίου κόλπου, μὴ λάθωσιν αὐτοὺς οἱ Κερκυραῖοι διαπλεύσαντες.

Οἱ δὲ Κερκυραῖοι ἐπειδὴ ἐπύθοντο τὰς παρασκευὰς τῶν Κορινθίων, ἐβοήθουν ἐκ τῶν ἀγρῶν καὶ τὰ ἐν τῇ πόλει ἐπεσκεύαζον ὡς πολεμησόμενοι. καὶ ἐλθόντες ἐς τὴν Λευκίμμην καὶ τὸν Ἔρυμνον καὶ τὸν Γενέθλιον καὶ τὸν Λάκμον, ἃ ἐστὶν ἐπὶ τῆς ἠπείρου τῆς Κερκυραίων, ἐστρατοπεδεύοντο· καὶ ἐπὶ τῇ Λευκίμμῃ ἐτείχιζον ἐν τῷ ἰσθμῷ τὸ χωρίον, ὅπως ἂν ἐκ τοῦ πορθμοῦ μὴ ἐπιπλέωσιν αἱ νῆες αὐτοῖς. καὶ τὰ μὲν ἐπιτήδεια ἐκ τῆς ἠπείρου ἐκομίζοντο, ἐκ δὲ τῆς νήσου ἐπῆλθον οἱ Κορίνθιοι καὶ τῶν ξυμμάχων οἱ παρόντες καὶ ἐστρατοπεδεύοντο ἐπὶ τῷ Χειμερίῳ καλουμένῳ λιμένι τῆς Ἐπιδάμνου. καὶ ἐπειδὴ ἐγένοντο ἑκατέρων παρασκευαί, ἐγίγνοντο καὶ ἐκκλησίαι ἀμφοτέροις, τοῖς μὲν ἐν τῇ Ἐπιδάμνῳ ὑπὸ φόβου τοιοῦδε, ὅτι ἐν τῷ πολέμῳ ἐκράτουν οἱ Κερκυραῖοι τῶν ἐν τῷ κόλπῳ καὶ τῇ θαλάσσῃ, ἐλπίδα ἔχοντες μείζω τοιαύτην ἐπελθόντες καὶ τὴν πόλιν ῥᾳδίως λήψεσθαι, ἣν ἐκείνων ἀπόστασιν ἴδωσιν· τοῖς δὲ Κερκυραίοις ὅτι ἐπὶ τὴν ἑαυτῶν ἀποικίαν ἐστρατεύοντο καὶ οὐκ ἐνεδέχετο ἐπιτρέπειν οὐδὲν μᾶλλον τοῖς Κορινθίοις ἢ τοῖς ἄλλοις ἐπὶ τοὺς ἀφισταμένους τῶν ὑπηκόων.

27 Ἐλθόντων δὲ καὶ τῶν Κορινθίων καὶ τῶν ξυμμάχων ἐς λόγους ἐκαλοῦντο μὲν ὑπὸ τῶν Κερκυραίων ἐκ τῶν ἀγρῶν ἄνδρες δέκα, οἵπερ καὶ ἐπρεσβεύσαντο, καὶ ἐλθόντες ἐκάθηντο ἐπὶ τοῖς ἐκκλησιαστηρίοις· ἐκαλοῦντο δὲ καὶ ἐκ τῆς πόλεως ἄνδρες ἄλλοι δέκα πρεσβύτατοι. ἐπειδὴ δὲ ἐκκλησία ἐγένετο, πρῶτοι μὲν οἱ Κορίνθιοι ἐπῆλθον λέγοντες τάδε·

28 «Οὐκ ἄδικον ἡγούμεθα εἶναι, ὦ Κερκυραῖοι, οὐδὲ ἀπρεπὲς ἐς ὑμᾶς, ἐπὶ τοὺς ἀφισταμένους τῶν ἑαυτῶν ἐλθόντας κολάσεως τυχεῖν· ὑμᾶς δὲ μάλιστα ἐπὶ τοιάνδε ἀποστασίαν ἐλθόντας ἐπὶ τοὺς ἀποστάντας ἐλθεῖν ἀξιοῦμεν, ὅτι οὐδὲ ἐν τῷ πολέμῳ ἐν ᾧ μάλιστα ἐδεήθητε τῆς ἡμετέρας βοηθείας, ἐν τούτῳ ἐπείσθημεν ὑμῖν ἀφίστασθαι, ἀλλ' ἐν εἰρήνῃ καὶ ἡσυχίᾳ ἀπεστείλαμεν ἐς ὑμᾶς τὴν ἀπόστασιν, καὶ ἐπειδὴ ἐπολεμεῖτο, ἐν τῷ ἐκείνου ἐπιόντι καὶ ἀπόντων ἡμῶν ἐκτήσασθε τὸν στόλον τὸν ὑμέτερον· ὃς εἰ μὴ ἐπεποιήκει

κωλύωνται ὑπ' αὐτῶν κατὰ θάλασσαν περαιούμενοι. Κορκυραῖοι δὲ (ἐπειδὴ ἤσθοντο τούς τε οἰκήτορας καὶ φρουροὺς ἥκοντας ἐς τὴν Ἐπίδαμνον τήν τε ἀποικίαν Κορινθίοις δεδομένην) ἐχαλέπαινον καὶ πλεύσαντες εὐθὺς πέντε καὶ εἴκοσι ναυσὶ καὶ ὕστερον ἑτέρῳ στόλῳ τοὺς τε φεύγοντας ἐκέλευον κατὰ ἐπήρειαν δέχεσθαι αὐτούς (ἦλθον γὰρ ἐς τὴν Κόρκυραν οἱ τῶν Ἐπιδαμνίων φυγάδες, τάφους τε ἐπιδεικνύντες καὶ ξυγγένειαν, ἣν προϊσχόμενοι ἐδέοντο τοὺς τε φρουροὺς οὓς Κορίνθιοι ἐπεμψαν καὶ τοὺς οἰκήτορας ἀποπέμπειν). Οἱ δὲ Ἐπιδάμνιοι οὐδὲν αὐτῶν ὑπήκουσαν, ἀλλὰ στρατεύουσιν ἐπ' αὐτοὺς οἱ Κορκυραῖοι τεσσαράκοντα ναυσὶ μετὰ τῶν φυγάδων, ὡς κατάξοντες.

§ 4. *πολὺς θόρυβος*] δηλ. ἦν. τὸ δὲ πολὺς κατηγορούμενον. — *παραγιγνόμεναι*] αἰτιολογ. μετοχὴ = ἐρχόμεναι πλησίον (πρβλ. Α', 33, 2. Δ', 94, 1). — *εἴ πῃ πιέζοιντο*] δηλ. *οἱ Κορκυραῖοι*, εἶναι δ' εὐκτικὴ ἐπανάληψιν σημαίνουσα (πρβλ. § 3). — *μάχης δὲ οὐκ ἦρχον*] πρβλ. Σχολ. «*οὐκ ἦρχον αἱ νῆες μάχης, τῶν στρατηγῶν δεδιότων τὴν πρόρρησιν*». Πάντες σχεδὸν οἱ ἑρμηνευταὶ δέχονται ὑποκείμενον τοῦ ἦρχον τὸ «*αἱ Ἀττικαὶ νῆες*», τὸ δὲ «*δεδιότες οἱ στρατηγοὶ*» νομίζουσιν ὡς ὀνομαστικὴν ἀπόλυτον ἢ παράθεσιν εἰς τὸ *αἱ Ἀττικαὶ νῆες*. Ἡ σύνταξις αὕτη τότε μόνον δύναται νὰ ὑπάρχῃ, ὅταν ὀβελισθῇ τὸ «*οἱ στρατηγοὶ*» κατὰ Κόβητον, τὸ δὲ «*δεδιότες*» ὑπολειφθῇ ὅτι κεῖται κατὰ τὸ σημαι-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

προρρησιν τῶν Ἀθηναίων. Μάλιστα δὲ τὸ δεξιὸν κέρας τῶν Κορινθίων ἐπρονει. Οἱ γὰρ Κορκυραῖοι εἴκοσι ναυσὶν αὐτοὺς τρεψάμενοι καὶ καταδιώξαντες σποράδας ἐς τὴν ἤπειρον, μέχρι τοῦ στρατοπέδου πλεύσαντες αὐτῶν καὶ ἐπεκβάντες ἐνέπρησάν τε τὰς σκηνὰς ἐρήμους καὶ τὰ χρήματα ἀνῆρπασαν. Ταύτῃ μὲν οὖν οἱ Κορίνθιοι καὶ οἱ ξύμμαχοι ἠσσῶντο τότε, καὶ οἱ Κορκυραῖοι ἐπεκράτουν· οἱ δὲ αὐτοὶ οὗτοι ἦσαν οἱ Κορίνθιοι [ἐπὶ τῷ εὐωνύμῳ] πολὺ ἐνίκων, τοῖς Κορκυραίοις τῶν εἴκοσι νεῶν ἀπὸ ἐλάσσονος πλήθους, ἐκ τῆς διώξεως οὐ παρουσῶν·

νόμενον σχῆμα, ὅπερ ἀπαντᾷ πολλαχοῦ, ὡς «πεντήκοντα τριήρεις πλέουσαι ἐς Αἴγυπτον ἔσχον κατὰ τὸ Μενδήσιον κέρας, οὐκ εἰδότες τῶν γεγενημένων οὐδέν» (Α', 110,4. πρβλ. καὶ Α', 52,1. Β', 91,1. Γ', 110, 2). ὅρα καὶ Ἀσωπ. Περ. Β', π. 858, § 103. Ἐὰν δὲ δὲν ὀβελισθῇ τὸ «οἱ στρατηγοὶ» ὁμαλώτερον εἶναι νὰ ὑπολάβωμεν ὑποκείμενον τοῦ ἦρχον τὸ οἱ στρατηγοί. — τὴν πρόρρησιν τῶν Ἀθηναίων] γενικὴ ἐξ ὑποκειμένου = ὃ προεῖπον αὐτοῖς οἱ Ἀθηναῖοι (Α', 45,3), τὸ προειρημένον ὑπὸ τῶν Ἀθηναίων = τὴν προκηρυχθεῖσαν ἐπιταγήν. Μόνον ὃ ἐνταῦθα παρὰ Θουκυδίδῃ τὸ πρόρρησις ὡς ὄνομα τοῦ προειπεῖν ὑπάρχει.

§ 5. ἐπόνει] τὸ πονῶ ἀμεταβ. μέν = κοπιῶ καὶ κακοπαθῶ, μεταβ. δὲ πονῶ τι (πρβλ. Ξεν. Ἀν. Ζ', ς', 41. κτλ.) = μετὰ πόνου τι κτῶμαι. — αὐτοὺς τρεψάμενοι] ὁ μέσ. ἀόρ. ἐτρεψάμην τινά = τρέψας εἰς φυγήν τινα ἀπέωσα ἀπ' ἐμαυτοῦ. — καὶ καταδιώξαντες σποράδας] τὸ σποράδας προληπτικὸν κατηγορούμενον τοῦ αὐτοὺς = καταδιώξαντες ὥστε σποράδας αὐτοὺς ποιεῖν. Αἱ δὲ μετοχαὶ τρεψάμενοι καὶ καταδιώξαντες εἶναι χρονικαὶ μετοχαὶ τῶν πλεύσαντες καὶ ἐπεκβάντες. — αὐτῶν] συναπτέον τῷ «στρατοπέδου». — καὶ ἐπεκβάντες] ὅηλ. ἐς τὴν γῆν (πρβλ. Η', 105, 1) = ἐκβάντες προσέτι. — τὰς σκηνὰς ἐρήμους] ὅηλ. οὔσας = ἐπεὶ ἐρῆμοι ἦσαν, πρβλ. «τὰ ἐκ τῶν ἄλλων ἱερῶν χρήματα οὐκ ὀλίγα» (Β', 13, 5) καὶ «τῇ δίψῃ ἀπαύστῳ» (Β', 49, 5. πρβλ. καὶ Δ', 122, 5. ς', 61, 5. κτλ.). Τὸ δ' ἐρῆμος πεντάκις μὲν παρὰ Θουκυδίδῃ ἀπαντᾷ δικατάληκτον, ἐνδεκάκις δὲ τρικατάληκτον. — τὰ χρήματα] = τὰ πράγματα, οὐ μόνον τὰ ἀργύρια (πρβλ. Γ', 74, 2). — διήρπασαν] ἡ διὰ σημαίνει ἐπίτασιν (πρβλ. διαφθείρω. διαλυμαίνομαι, διαχωρίζομαι, διαμαρτάνω, διακωλύω, διαπρέπω, κτλ.).

§ 6. οἱ Κορίνθιοι καὶ οἱ ξύμμαχοι] ὁ Στάλλιος ὀβελίζει τὰς λέξεις ταύτας, διότι ἐν τῷ δεξιῷ κέρατι, ὅπερ ἐπόνει, ἦσαν μόνον νῆες Μεγαρίδες καὶ Ἀμπρακιώτιδες (Α', 48, 4), οὐχὶ δὲ Κορίνθιοι, οἵτινες εἶχον τὸ ἀριστερὸν κέρας, ὁ Κόβητος δὲ πρὸς ταύταις ὀβελίζει καὶ τὰς τρεῖς ἑπομένας «ἡσσῶντό τε καί». — ἡσσῶντο τότε] κατὰ διόρθωσιν τοῦ Σταλλίου ἀντὶ τοῦ «ἡσσῶντό τε», ὁ δὲ Κρυγῆρος ὀβελίζει τὸ τότε, ὁ δὲ Κλασσήνιος διατηρεῖ αὐτὸ λέγων ὅτι διὰ τοῦ τότε· καὶ συνάπτονται οἱ δύο προτάσεις πρὸς ἀλλήλας. — ἐπὶ τῷ εὐωνύμῳ] ὀβελίζει τὰς λέξεις ταύτας ὁ Κόβητος σχόλιον οὔσας (Α', 48, 4). — ἀπὸ ἐλάσσονος πλήθους] = ἐξ ἀριθμοῦ ἧσσον καθ' ἑαυτὸν μικροτέρου· διότι οἱ μὲν Κερκυραῖοι εἶχον 110 ναῦς (Α', 47, 1), οἱ δὲ Κορίνθιοι 150 (Α', 46, 1). πρβλ. Σχολ. «τῶν εἴκοσιν ἀναχωρησασῶν ἐκ τοῦ πολέμου, πολὺ ἐλάσσονες ἐγένοντο οἱ Κερκυραῖοι, κἂν τὰς τοῦ δεξιοῦ κέρως νῆας τῶν Κορινθίων ἀφείλοντο». Ἡ ἀπὸ μετὰ γενικῆς σημαινούσης τὸ ὅλον σημαίνει χωρισμὸν ἀπ' αὐτοῦ, ὡς «ὀλίγαι ἀπὸ πολλῶν» (Α', 110, 1)· «ἑξήκοντα νῆες ἐς Αἴγυπτον ἀπ' αὐτῶν (διακοσίων) ἔπλευσαν» (Α', 112, 2)· «λαβὼν ἑξήκοντα ναῦς ἀπὸ τῶν ἑφορμουσῶν ᾤχετο» (Α', 116, 3). πρβλ. καὶ Δ', 9, 1. — ἐκ τῆς διώξεως] = ἐ-

Οἱ δ' Ἀθηναῖοι ὁρῶντες τοὺς Κορκυραίους πιεζομένους μᾶλλον ἤδη ἀπροφασίστως ἐπεκούρουν, τό τε πρῶτον ἀπιγόμενοι ὥστε μὴ ἐμβάλλειν τινί· ἐπεὶ δὲ ἡ τροπὴ ἐγένετο λαμπρῶς καὶ ἐνέκειντο οἱ Κορίνθιοι, τότε δὴ ἔργου παῖς εἶχετο ἤδη καὶ διεκρίθη οὐδὲν ἔτι, ἀλλὰ ξυνέπεσεν ἐς τοῦτο ἀνάγκης ὥστε ἐπιχειρῆσαι ἀλλήλοις τοὺς Κορινθίους καὶ Ἀθηναίους.

50. Τῆς δὲ τροπῆς γενομένης οἱ Κορίνθιοι τὰ σκάφη μὲν οὐχ εἵλκον ἀναδούμενοι τῶν νεῶν, ἀλλὰ τοὺς ἐν αὐτοῖς ἐπιβάτας ἀποκτείναντες καὶ τὰ ἐν τοῖς σκάφεσιν ἔχοντες ἐπ' αὐτῶν τῶν νεῶν τῶν Κερκυραίων ἐπέπλεον ἐπὶ τὰς ναῦς τὰς Ἀττικάς, ἅμα μὲν ἐπιγιγνομένης ἑσπέρας, ἅμα δὲ καὶ δείσαντες μὴ ἐπιπλεύσωσιν αὐτοῖς ἄλλαι νῆες ἐκ τῆς Κερκύρας· ἐβούλοντο γὰρ ἐκ τοῦ παραχρῆμα ἔτι τὸν κίνδυνον καταπαῦσαι. οἱ δὲ Ἀθηναῖοι ἰδόντες ἄλλας εἴκοσι ναῦς ἐπιπλεούσας ὑπὲρ τὸ Λευκίμμη ἀκρωτήριον τῆς Κερκύρας, ἐπειδὴ ἐγγὺς ἐγένοντο, ἐνόμισαν ἐπὶ σφᾶς πλεῖν καὶ ἐκ τοῦ παραχρῆμα ἀναστρέφουσι πρὸς τὴν ἤπειρον καὶ τὸν ἐπ' αὐτῆς ὅρμον, ἐν ᾧ καὶ τὸ τῶν Χαόνων ἔθνος ὁρίζεται. ἐπεὶ δὲ ἐκείνας τε οὐκ ἐπεδείκνυσαν καὶ ἡ νὺξ ἐπῆλθε, τότε δὴ καὶ οἱ Κορίνθιοι ἀνεκομίσαντο τὰ σκάφη καὶ ἀνῆραν τὰ ἐν τοῖς σκάφεσιν ἔχοντες καὶ ἀνεχώρησαν ἐς τὴν Λευκίμμην καὶ τροπαῖον ἔστησαν. ἐκ δὲ τῶν ἐπιβατῶν καὶ τῶν ἀνδρῶν τῶν ἐν τοῖς σκάφεσιν ἀπέκτειναν μὲν οὐ πολλούς, ἀνέλαβον δὲ πλείους· ἦσαν γὰρ ἐν τῇ ναυμαχίᾳ ἐλεύθεροι μὲν ὀκτακόσιοι, δοῦλοι δὲ τετρακισχίλιοι καὶ μᾶλλον. ἐν δὲ τῇ ἐπιούσῃ ἡμέρᾳ ἐπιπλεύσαντες τοῖς Κερκυραίοις ἐκόσμουν τὰ ἐν τῇ θαλάσσῃ ναυάγια καὶ τοὺς νεκροὺς καὶ τὰ σκάφη ἐπὶ τὴν Σύβοτα ἀπαντήσαντες γὰρ αὐτοῖς ἐπὶ τὴν Σύβοτα ἀπαντήσαντες φάσιν ἐποιήσαντο τοῦ ἔργου καὶ ἐπὶ τὰ

δούμενοι τῶν νεῶν, ἃς κατεδύσειαν, πρὸς δὲ τοὺς ἀνθρώπους ἐτράποντο, φο-
νεύειν διεκπλέοντες μᾶλλον ἢ ζωγρεῖν, τούς τε αὑτῶν φίλους, οὐκ αἰσθόμενοι
ὅτι ἥσσηντο οἱ ἐπὶ τῷ δεξιῷ κέρᾳ, ἀγνοοῦντες ἐκτείνον. Πολλῶν γὰρ νεῶν ὁμοῦ
σῶν ἀμφοτέρων καὶ ἐπὶ πολὺ τῆς θαλάσσης ἐπεχουσῶν, ἐπειδὴ ξυνέμισγον ἀλ-
λήλοις, οὐ ῥᾳδίως τὴν διάγνωσιν ἐποιοῦντο ὁποῖοι ἐκράτουν ἢ ἐκρατοῦντο· ναυ-
μαχία γὰρ αὕτη Ἕλλησι πρὸς Ἕλληνας νεῶν πλήθει μεγίστη δὴ τῶν πρὸ αὐ-
τῆς γεγένηται. Ἐπειδὴ δὲ κατεδίωξαν τοὺς Κορκυραίους οἱ Κορίνθιοι ἐς τὴν
γῆν, πρὸς τὰ ναυάγια καὶ τοὺς νεκροὺς τοὺς σφετέρους ἐτράποντο, καὶ τῶν

καταδύσειαν] παραμελεῖται ἡ ἔλξις (πρβλ. καὶ Α', 99, 3. Ϛ', 76, 2) χάριν εὐφωνίας καὶ σαφηνείας (ὅρα Ἀσωπ. Περ. Β', σ. 909, § 159). ἡ δ' εὐκτικὴ σημαίνει ἐπανάληψιν, τὸ δὲ *καταδύω* δὲν σημαίνει ἐντεῦθα τὸ καταβυθίζω, ἀλλὰ τὸ τραυματίζω τὰς ναῦς οὕτως ὥστε νὰ ἔχωσιν αὐταὶ ῥήγματα καὶ ὦσιν ἀνεπιτήδειοι πρὸς πλοῦν, πρβλ. «καταδύσαντες (Α', 54, 2) «ἀντὶ τοῦ τρώσαντες· οὐ γὰρ λέγει ἐπὶ τοῦ βαπτίσαντες· τοιοῦτο δ' ἐστὶ καὶ τὸ ἂς καταδύσειαν» (Σχολ. αὐτόθ.). πρβλ. καὶ Ζ', 23, 4. Ξεν. Ἑλλ. Α', ϛ', 35. Ζ', 32. Τοιοῦτον σημαίνει καὶ τὸ *διαφθείρειν* (Α', 54, 2. Β', 84, 3) καὶ τὸ Λατιν. demergere (Livi., XXXVII, 24, 3).—*πρὸς τοὺς ἀνθρώπους ἐτράποντο φονεύειν*] = ἔτρεψαν ἑαυτούς, ἐστράφησαν πρὸς τοὺς ἀνθρώπους φονεύειν αὐτούς. Εἶναι συγχώνευσις δύο συντάξεων εἰς μίαν = *πρὸς τοὺς ἀνθρώπους ἐτράποντο, τραπόμενοι αὐτοὺς φονεύειν* (πρβλ. καὶ Β', 65. 10. Ϛ', 69, 3).—*διεκπλέοντες*] τροπικὴ μετοχή. Ἔχει δὲ διάφορον ἔννοιαν τοῦ *διέκπλους* (Α', 49, 3) σημαίνον *διατρέχειν διὰ τῶν πλοίων* (transcurrere navibus). — *τούς τε αὑτῶν φίλους*] καὶ ἐκ τοῦ *ἀγνοοῦντες* καὶ ἐκ τοῦ *ἔκτεινον* ἐξαρτᾶται. Παράβαλε Σχολ. «*Μεγαρέας καὶ Ἀμπρακιώτας φησί· τὸ ἑξῆς, τοὺς αὑτῶν φίλους ἀγνοοῦντες ἔκτεινον, νομίζοντες Κερκυραίους εἶναι*».

§ 2. *καὶ ἐπὶ πολὺ τῆς θαλάσσης ἐπεχουσῶν*] = καὶ πολὺ μέρος τῆς θαλάσσης κατεχουσῶν. Τὸ *ἐπὶ πολύ* (ἔνθα ἡ ἐπὶ σημ. ἔκτασιν, πρβλ. Α', 1, 2) εἶναι ἀντικείμενον τοῦ *ἐπεχουσῶν*, πρβλ. «*τῆς νεὼς ἐπὶ πολὺ κατεβύρσωσαν*» (Ζ', 65, 2), πρβλ. καὶ Δ', 12, 3 καὶ τὸ «*ἐπὶ μέγα κατέσεισε*» (Β', 76, 4). ὅρα Γ. Ζηκίδ. Συντ. § 68. Περὶ δὲ τοῦ *ἐπέχειν* ὅρα Α', 48, 3.—*ξυνέμιξαν*] ὅρα Α', 49, 1.—*τὴν διάγνωσιν ἐποιοῦντο*] = διεγίγνωσκον (πρβλ. καὶ Δημ. 18, 7) δηλ. τοὺς φιλίους ἢ πολεμίους.— *ὁποῖοι ἐκράτουν ἢ ἐκρατοῦντο*] ὁ Κόβητος ὀβελίζει τὰς λέξεις ταύτας, διότι ἔδει νὰ εἶναι «*οἵτινες*» ἢ «*ὁπότεροι*», ὁμοίως δὲ καὶ ὁ Ἐρουερδήν. Ἀλλ' ὁ Στάλλιος παρατηρεῖ ὅτι διὰ τὴν σύγχυσιν τῶν πραγμάτων ἦν ἀναγκαῖον νὰ δηλωθῇ ὅτι τῇ ὄψει οἱ νικηταὶ ἀπὸ τῶν ἡττηθέντων δὲν ἠδύναντο νὰ διακριθῶσιν. Ποιοτίθεται δὲ ἡ αἰτία, δι' ἣν ἐκεῖνοι δὲν διέγνωσαν τὴν ἧτταν τοῦ δεξιοῦ αὐτῶν κέρατος. Ἑρμηνεύεται δὲ = ὁποῖοι ἰδιότητος ἄνθρωποι, δηλ. φίλοι ἢ πολέμιοι, ἐνίκων ἢ ἐνικῶντο. — *ναυμαχία γὰρ αὕτη*] ἄνευ ἄρθρου, πρβλ. τὸ «*κίνησις γὰρ αὕτη*» (Α', 1, 2). — *Ἕλλησι πρὸς Ἕλληνας*] λέγει τοῦτο πρὸς διάκρισιν τῶν Περσικῶν πολέμων, ἐν οἷς ἐναυμάχησαν, ἐν Σαλαμῖνι μάλιστα, Ἕλληνες πρὸς βαρβάρους.— *μεγίστη δὴ τῶν πρὸ αὐτῆς*] ὅρα Α', 1, 1.

§ 3. *πρὸς τὰ ναυάγια*] *ναυάγια μὲν οὐδετέρως λέγεται, ὅταν τι τῆς νεὼς ἀπόληται, οἷον πηδάλιον ἤ τι τοιοῦτον· ναυαγία δὲ θηλυκῶς ἡ πᾶσα τῆς νεὼς ἀπώλεια λέγεται* (Σχολ.).—*καὶ τοὺς νεκρούς*] =

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πλείστων ἐκράτησαν ὥστε προσκομίσαι πρὸς τὰ Σύβοτα, οἱ αὐτοῖς ὁ κατὰ γῆν στρατὸς τῶν βαρβάρων προσεβεβοηθήκει. Ἔστι δὲ τὰ Σύβοτα, τῆς Θεσπρωτίδος λιμὴν ἐρῆμος. Τοῦτο δὲ ποιήσαντες αὖθις ἀθροισθέντες ἐπέπλεον τοῖς ἐν Κορκυραίοις. Οἱ δὲ παῖς πλοίοις καὶ ὅσαι ἦσαν λοιπαὶ μετὰ τῶν Ἀττικῶν νεῶν καὶ αὐτοὶ ἀντεπέπλεον, δείσαντες μὴ ἐς τὴν γῆν σφῶν πειρῶσιν ἀποβαίνειν. Ἤδη δὲ ἡμέρᾳ καὶ ἐπεπαιανίστο αὐτοῖς ὡς ἐς ἐπιπλοῦν, καὶ οἱ Κορίνθιοι ἐξαπίνης πρύμναν ἐκρούοντο, κατιδόντες εἴκοσι ναῦς Ἀθηναίων προσπλεούσας καὶ πρὸς τοὺς νεκροὺς τοὺς ἑαυτῶν (Κορινθίων). — τῶν πλείστων] «σημαίνοτι σωμάτων· τινὰ γὰρ ὁ ἄνεμος τῇ Κερκύρᾳ προσέρριψεν» (Σχολ.).—προσκομίσαι] «ἀφρόντιζον γὰρ τῆς ταφῆς τῶν ἐν τῷ πολέμῳ πιπτόντων» (Σχολ.). — Σύβοτα] ταῦτα τὰ Σύβοτα ἦσαν ἄλλα ὁμωνύμως ταῖς εἰρημέναις νήσοις (Δ', 47,1) καὶ ἀπέναντι αὐτῶν εἰς τὴν Ἤπειρον κείμενα, ἦσαν δὲ λιμὴν τῆς Θεσπρωτίδος ἔρημος. Τούτων δὲ μνημονεύει καὶ ἀλλαχοῦ (Α', 52, 1. Γ', 76). — οἱ] καὶ γραφὴ οὗ, πρβλ. «οὕπερ αὐτοῖς ὁ κατὰ γῆν στρατὸς τῶν Πελοποννησίων προσεβεβοηθήκει» (Β', 86,1). — προσεβεβοηθήκει] ὁ δ' Ἐρυεδδὴν μετὰ τοῦ ἐφελκυστικοῦ ν.—λιμὴν ἐρῆμος] οὐ τινος τὰ πλευρὰ ἦσαν ἀκατοίκητα, δὲν ὑπῆρχε πόλις.

§ 4. ποιήσαντες] χρονικὴ μετοχὴ τῆς μετοχ. ἀθροισθέντες (= ἀθροίσαντες ἑαυτούς). τὸ δὲ τοῦτο ποιήσαντες=προσκομίσαντες τοὺς νεκρούς.—ταῖς πλοίοις] δοτικὴ ὀργανική. πλοῖοι δὲ νῆες = νῆες πρὸς τὸ πλεῖν ἐπιτήδειαι, αἵτινες ἐκ τῆς προηγουμένης μάχης ἐσώθησαν.—καὶ ὅσαι ἦσαν λοιπαί] ὁ Ῥεΐσκιος ἤθελε νὰ ὀβελίσῃ τὸν καί, ὅπερ ποιεῖ ὁ Κρυγῆρος, ὁ δὲ Πόππος καὶ Κλασσήνιος διατηροῦσι τὸν καί, διότι οἱ Κερκυραῖοι εἶχον καὶ ναῦς μὴ μετασχούσας τῆς μάχης· διότι ἐν ᾧ εἶχον 120 ναῦς (Α', 25,4), ἐναυμάχησαν μόνον μετὰ 110 (Α', 47,1).—καὶ αὐτοὶ ἀντεπέπλεον] τὸ καὶ αὐτοὶ τίθεται πρὸς τῇ ἀντὶ διὰ πλείονα σαφήνειαν, πρβλ. «ἀντεκαθέζοντο καὶ αὐτοὶ» (Δ', 124,2. πρβλ. καὶ Ε', 6,3. Ζ', 73,2)=ὡς οἱ Κορίνθιοι καὶ αὐτοὶ ἀμαιβαίως ἐπέπλεον.—σφῶν] δηλ. Κορκυραίων. —πειρῶσιν]=πειρῶνται, ὁ δ' ἐνεργ. τύπος παρὰ Θουκυδίδῃ εἶναι οὐχὶ σπάνιος, συνηθέστερος δ' ὁ μέσ. πειρῶμαι.

§ 5. ὀψὲ] ἐπέχει τόπον ὑποκειμένου=ὀψία, πρβλ. «τῆς ἡμέρας ὀψὲ ἦν» (Ξεν. Ἑλλ. Β', α', 23). ἄρα Γ. Ζηκίδ. Συντ. § 15. Ηρβλ. Σχολ. «οὐ λέγει ὅτι ἦν ἑσπέρα, ἀλλ' ὡς ἑνάτη ἢ δεκάτη ὥρα· τὸ γὰρ ὀψὲ ἐπὶ τῆς ἑσπέρας ἄταξ κεῖται ἐν τῇ τρίτῃ», πρβλ. «ἡ μάχη ἐτελεύτα ἐς ὀψέ» (Γ', 108, 3).— ἐπεπαιάνιστο αὐτοῖς] «δύο παιᾶνας ᾖδον οἱ Ἕλληνες, πρὸ μὲν τοῦ πολέμου (δηλ. τῆς μάχης) τῷ Ἄρει, μετὰ δὲ τὸν πόλεμον τῷ Ἀπόλλωνι» (Σχολ.). πρβλ. Ξεν. Παιδ. Γ', γ', 58. Ζ', α', 25. Ἔχει δὲ ὑποκειμ. τὴν ἀφῃρημ. ἔννοιαν=παιανισμὸς ἐγεγόνει αὐτοῖς (πρβλ. καὶ Α', 46, 1. 48, 1). Φέρεται δὲ τὸ ῥῆμα παρὰ Θουκυδ. καὶ διὰ τοῦ ω παιωνίζω, ἀλλ' ὀρθὴ γραφὴ εἶναι μόνον διὰ τοῦ α (ὥρα Herwerd. Stud. Thucyd. p. 118. Stahl. Quaes. Gramm. σ. 44).— ὡς ἐς ἐπίπλουν]=ὡς δι' ἐπίπλουν=ὡς ἐπιπλευσομένους. Περὶ δὲ τοῦ ὡς ὥρα Α', 48, 1.—καὶ οἱ Κορίνθιοι] μεταχειρίζεται τὴν κατὰ παράταξιν πλοκὴν ἀντὶ τῆς καθ' ὑπόταξιν «ᾗδη δὲ ὀψίας οὔσης καὶ παιανισμοῦ γενομένου ὡς ἐς ἐπίπλουν, οἱ Κορίνθιοι» κτλ. — πρύμναν ἐκροῦοντο] «πρύμναν κρούεσθαί ἐστι τὸ κατ' ὀλίγον ἀναχωρεῖν μὴ στρέψαντα τὸ πλοῖον· ὁ γὰρ οὕτως ἀναχωρῶν ἐπὶ τὴν πρύμναν κωπηλατεῖ· τοῦτο δὲ ποιοῦσιν, ἵνα μὴ δόξωσι φανερῶς φεύγειν, οὕτω κατ' ὀλίγον ὑπαιάντες» (Σχολ.). Τοῦτο παρὰ Λατίνοις λέγεται re-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σας, ἃς ὕστερον τῶν δέκα βοηθοὺς ἐξέπεμψαν οἱ Ἀθηναῖοι, δείσαντες, ὅπερ ἐγένετο, μὴ νικηθῶσιν οἱ Κορκυραῖοι καὶ αἱ σφέτεραι δέκα νῆες ὀλίγαι ἀμύνειν ὦσιν.

51. Ταύτας οὖν προϊδόντες οἱ Κορίνθιοι καὶ ὑποτοπήσαντες ἀπ' Ἀθηνῶν εἶναι καὶ οὐχ ὅσας ἑωρῶν ἀλλὰ πλείους, ὑπανεχώρουν. Τοῖς δὲ Κορκυραίοις ἐπέπλεον γὰρ μᾶλλον ἐκ τοῦ ἀφανοῦς) οὐχ ἑωρῶντο, καὶ ἐθαύμαζον τοὺς Κορινθίους πρύμναν κρουομένους, πρίν τινες ἰδόντες εἶπον ὅτι νῆες ἐκεῖναι ἐπιπλέουσιν. Τότε δὲ καὶ αὐτοὶ ἀνεχώρουν (ἐσύνεσκόταζε γὰρ ἤδη), καὶ οἱ Κορίνθιοι

tro inhibere navem (Livi. XXVI, 39, 12). Εἶναι δὲ ἡ φράσις ναυτική, ἧς πολλάκις ὁ Θουκυδίδης ποιεῖται χρῆσιν (Α', 51, 2, 54, 2, Γ', 78, 3. Ζ', 40, 1), ἀντ' αὐτῆς δὲ μεταχειρίζεται καὶ τὸ *ἀνακρούομαι* μετὰ τοῦ πρύμναν ἢ ἄνευ αὐτοῦ (Ζ', 36, 1. 40, 2 καὶ Ἡροδ. Η, 84. Ἀριστοφ. Σφ. 399). Παρ' Ἀππιανῷ δὲ λέγεται καὶ «κρούειν τὴν ναῦν ἐπὶ πρύμναν» (Ἐμφ. Πόλ. 5, 119). Μεταχειρίζεται δὲ τὸν ἐνικὸν ἀντὶ τοῦ πληθ. πρύμνας (ὅρα Γ. Ζηκίδ. Συντ. § 38, 5) = ἐκρουον τὰς πρύμνας τῶν ἑαυτῶν νεῶν ταῖς κώπαις. Ἄλλοι δὲ νομίζουσι τὴν αἰτιατ. πρύμναν ὡς αἰτιατ. τοῦ τρόπου = κρούειν τὰς κώπας ἐπὶ πρύμναν (εἰς τὴν διεύθυνσιν τῆς πρύμνης). Ἐπὶ δὲ τῆς πεζικῆς παρατάξεως λέγεται τοῦτο «ἐπὶ πόδα ἀνάγειν» (Ξεν. Παιδ. Γ', γ', 69), ἐπὶ πόδα ἀναχωρεῖν (Ξεν. Ἀναβ. Ε', 6', 32). —*ὅπερ ἐγένετο*] ἀναφέρεται εἰς τὸ ἑπόμενον = ἐνικήθησαν. —*ὀλίγαι ἀμύνειν*] = ὀλιγάριθμοι πρὸς τὸ ἀποκρούσαι τὸν ἐχθρόν. Τὸ μέσον *ἀμύνεσθαι* εἶναι συνηθέστερον ἐν τῷ πεζῷ λόγῳ τῶν Ἀττικῶν τοῦ ἐνεργ. *ἀμύνειν*. Τὸ *ὀλίγος* συντάσσ. ἀπαρεμφάτῳ, πρβλ. «ἑξήκοντα αὐτῶν ὀλίγων στρατὸν τὸν Μήδων ἀλέξασθαι» (Ἡροδ. Ζ', 207. πρβλ. καὶ Ϛ', 109) καὶ «ταπεινὴ ἐγκαρτερεῖν» (Θουκ. Β', 61, 2) καὶ «βραχέα περιγίγνεσθαι» (Ε', 111, 2).

Κεφ. 51. *Ἀνεχώρησαν ἀμφότεροι, τοῖς δὲ Κερκυραίοις ἦλθον ἐξ Ἀθηνῶν καὶ ἄλλαι εἴκοσι νῆες.*

§ 1. *προϊδόντες*] κατὰ μὲν τὸν Σχολ. = *πρὸ τῶν Κερκυραίων*, κατὰ δὲ τὸν Κλασσήνιον = μακρόθεν ἰδόντες (πρβλ. Γ', 22, 1. Δ', 34, 3. Ζ', 25, 7. 44, 2) εἶναι δὲ μετοχαὶ αἰτιολογικαί. — *ὑποτοπήσαντες*] *ἀντὶ τοῦ ὑποπτεύσαντες* (Σχολ.). — *καὶ οὐχ ὅσας*] ὃ καὶ προσετέθη ὑπὸ τοῦ Κοβήτου, ὅπερ δὲν ἐπιδοκιμάζει ὁ Πόππος νομίζων παρθέσιν τὴν πρότασιν ἄνευ τοῦ *καί*.

§ 2. *ἐπέπλεον*] δηλ. *αἱ Ἀττικαὶ νῆες*. —*ἐκ τοῦ ἀφανοῦς*] ἐπιρρηματικὴ ἔκφρασις (τῆς *ἐκ* σημαινούσης τρόπον) = ἀφανῶς (δηλ. ὡς πρὸς τοὺς Κερκυραίους μᾶλλον ἢ ὡς πρὸς τοὺς Κορινθίους), πρβλ. Δ', 36, 3. 96, 5. Ὅμοια εἶναι καὶ τὸ «*ἐκ τοῦ φανεροῦ*» (Δ', 79, 2. 106, 2. κτλ.), *ἐκ τοῦ προφανοῦς* (Γ', 43, 3), *ἐκ τοῦ εὐθέος* (Α', 34, 3), *ἐκ τοῦ εἰκότος* (Ζ', 66, 2), *ἐκ τοῦ αἰσχίονος* (Ϛ', 10, 2), *ἐκ τοῦ ὁμοίου* (Β', 44, 3), *ἐκ τοῦ δικαίου* (Β', 89, 3). Τὸ δὲ «*μᾶλλον ἐκ τοῦ ἀφανοῦς*» = ἀφανέστερον. —*οὐχ ἑωρῶντο*] τὸ ποιητ. αἴτιον εἶναι τὸ «*τοῖς Κορκυραίοις*» (ὅρα Γ. Ζηκίδ. Συντ. § 360, σημ. 2). —*καὶ ἐθαύμαζον*] ὃ καὶ εἶναι ἀκολουθίας σημαντικὸς = καὶ διὰ τοῦτο. Τὸ δὲ *θαυμάζειν* συντάσσεται κατηγορ. μετοχῇ, συνήθως μὲν κατὰ γενικ. πτῶσιν (Πλάτ. Πρωτ. 329, γ'), σπανιώτερον δὲ κατ' αἰτιατικήν. Ὑποκείμ. δὲ τοῦ *ἐθαύμαζον* εἶναι τὸ *οἱ Κορκυραῖοι*. — *πρύμναν κρουομένους*] πρβλ. Α', 50, 5. — *πρίν*] = ἕως οὗ (ὅρα Α', 118, 2. 132, 5). — *νῆες ἐκεῖναι ἐπιπλέουσιν*] αἱ δεικτικαὶ ἀντωνυμίαι τίθενται ἀνάρθρως μετ' ἐπιρρ. σημασίαν = νῆες ἐκεῖ ἐπιπλέουσιν· πρβλ. «καὶ τὴν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀποτραπόμενοι τὴν διάλυσιν ἐποιήσαντο. Οὕτω μὲν ἡ ἀπαλλαγὴ ἐγένετο ἀλλήλων, καὶ ἡ ναυμαχία ἐτελεύτα ἐς νύκτα. Τοῖς δὲ Κορκυραίοις, στρατοπεδευομένοις ἐπὶ τῇ Λευκίμμῃ, αἱ εἰκοσιννῆες [ἀπὸ τῶν Ἀθηνῶν] αὗται, ὧν ἦρχε Γλαύκων τε ὁ Λεάγρου καὶ Ἀνδοκίδης ὁ Λεωγόρου, διὰ τῶν νεκρῶν καὶ ναυαγίων προσκομισθεῖσαι κατέπλεον ἐς τὸ στρατόπεδον, οὐ πολλῷ ὕστερον ἢ ὥρθησαν. Οἱ δὲ Κορκυραῖοι (ἦν γὰρ νύξ) ἐφοβήθησαν μὴ πολέμιαι ὦσιν, ἔπειτα δὲ ἔγνωσαν καὶ ὡρμίσαντο.

οἱ πάρα κεῖνος Ἄρηος» (Ἰλ. Ε, 604) καὶ *«οὐ γὰρ ὁρῶμεν εἰ μὴ ὀλίγους τούτους ἀνθρώπους»* (Ξεν. Ἀν. Δ΄, ζ΄, 5).—*ἀποτραπόμενοι*]=ἄλλην ὁδὸν λαβόντες, στραφέντες εἰς τὰ ὀπίσω. — *τὴν διάλυσιν ἐποιήσαντο*]=*διελύθησαν ἀπ' ἀλλήλων* (Σχολ.).

§ 3. *ἡ ἀπαλλαγὴ ἐγένετο ἀλλήλων*]=ἀλλήλων ἀπηλλάγησαν.—*ἐτελεύτα ἐς νύκτα*] ἡ ἐς σημαίνει τὸ ὅριον χρονικῶς=μέχρι ἔντὸς τῆς νυκτός, ὑπὸ νύκτα, πρβλ. *«ἐς ἦέλιον καταδύντα δαίνυντο»* (Ἰλ. Λ, 601) καὶ *«ἡ ναυμαχία ἐτελεύτα ἐς ἡλίου δύσιν»* (Θουκ. Γ΄, 78,4) καὶ *«ἡ μάχη ἐτελεύτα ἐς ὄψε»* (Γ΄, 108,3).

§ 4. *στρατοπεδευομένοις*] ἀποπειρατικὸς παρατατικὸς = ὅτε ἐπειρῶντο στρατοπεδεύεσθαι. — *αἱ... ἀπὸ τῶν Ἀθηνῶν αὗται*] ὁ Κόβητος ὀβελίζει τὸ *«ἀπὸ τῶν Ἀθηνῶν»*, καθ' ὃν καὶ ὁ Ἑρουερδήν. Ἄλλοι δὲ δεχόμενοι αὐτὸ διὰ τὴν ἔλλειψιν τοῦ ἄρθρου παραβάλλουσι πρὸς τὸ *«αἱ πέρυσι πρεσβεῖαι περὶ τὴν Πελοπόννησον ἐκεῖναι»* (Δημ. 9,72) καὶ Β΄, 31,1. Δ΄, 5,11. Δ΄, 74,2. Ϛ΄, 55,1. Ζ΄, 41,2. Ἄλλοι δὲ γράφουσιν *«αἱ εἴκοσι νῆες αἱ ἀπὸ τῶν Ἀθηνῶν αὗται»*, παραβάλλοντες πρὸς τὸ *«οἱ ἄλλοι βασιλῆς ὀκτὼ οἱ πρὸ αὐτοῦ γενόμενοι»* (Β΄, 100,2) καὶ *«αἱ κεραῖαι ὑπὲρ τῶν ἕσπλων αἱ... ἠρμέναι»* (Ζ΄, 41,2. πρβλ. καὶ Ϛ΄, 55, 1).—*Γλαύκων ὁ Λεάγρου*] περὶ τοῦ *Λεάγρου* ὕρα Ἡροδ. Θ΄, 75. Σχολ. Ἀριστείδ. σ. 485.—*καὶ Ἀνδοκίδης ὁ Λεωγόρου*] Ἀνδοκίδης ὁ ῥήτωρ ἐγεννήθη τῷ 468 π. Χ. ὢν δέκα ἔτη πρεσβύτερος τοῦ Λυσίου. Τὴν στρατηγίαν Ἀνδοκίδου τοῦ ῥήτορος πρὸς τῷ σχολιαστῇ τοῦ Θουκυδίδου, παραλαβόντι τὴν μαρτυρίαν ἐκ τοῦ Ἀκουσιλάου, δέχεται καὶ ὁ τοῦ Ἀνδοκίδου βιογράφος λέγων *«διὸ καὶ προσχειρίσθη πυτὲ μετὰ Γλαύκωνος σὺν ναυσὶν εἴκοσι Κερκυραίοις βοηθῆσων διαφερομένοις πρὸς Κορινθίους»* (§ 2). Ὅλως ἀπαράδεκτος εἶναι ἡ γνώμη τῶν νομιζόντων ὅτι ὁ Ἀνδοκίδης ἐγεννήθη περὶ τὸ 440 π. Χ. (Blass Eloqu. Att. I p 271) καὶ διὰ τοῦτο δὲν ἦτο δυνατὸν νὰ στρατηγήσῃ αὐτὸς τῷ 432-431 π. Χ., ἀλλ' ὡς τοιοῦτος ἦτο ὁ πάππος αὐτοῦ. Φαίνεται δὲ πιθανὸν ὅτι πρὸς τοῖς δύο στρατηγοῖς ὑπῆρξε καὶ τρίτος, ὡς δῆλον γίνεται ἐκ τινος ἐπιγραφῆς Ἀττικῆς *«παρ[έδοσαν στρατηγοῖς ἐς Κήρ[κυραν τοῖς δευτέρ]οις ἐκπλέουσι Γλαύκωνι... ἴνει Κοιλεῖ Ἀραφηνίωι ... Διαντίδος πρυτανείας»* (CIA. I, 179). — *διὰ τῶν νεκρῶν καὶ ναυαγίων*] τῶν Κερκυραϊκῶν δηλονότι (Σχολ.). — *προσκομισθεῖσαι*] ἀόρ. παθ. μετὰ διαθ. μέσης = προσκομίσασαι ἑαυτάς, προσελθοῦσαι, προσενεχθεῖσαι.—*ἐς τὸ στρατόπεδον*] ὁ Ἑρουερδὴν ὑποπτεύει τὰς λέξεις ταύτας = εἰς τὸν τόπον, ἔνθα οἱ Κερκυραῖοι ἐπειρῶντο νὰ στρατοπεδεύωσιν. Τὴν αὐτὴν σημασίαν ἔχει καὶ τὸ *«στρατόπεδον καταλαμβάνειν»* (Β΄, 61, 4.7).

§ 5. *καὶ ὡρμίσαντο*] δηλ. οἱ Κορκυραῖοι (κατὰ Πόππον καὶ Ἑρουερδῆνα) = καὶ προσωρμίσθησαν, εἰσῆλθον εἰς τὸν λιμένα. Κατ' ἄλλους δὲ ὑποκείμ. εἶναι τὸ αἱ Ἀττικαὶ νῆες, διὰ δὲ τὴν ἀπροσδόκητον μεταβολὴν τοῦ ὑποκειμένου τινὲς μὲν γράφουσιν ὧδε· *«ἢ ὥρθησαν (οἱ δὲ Κορκυ-*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

52. Τῇ δ' ὑστεραίᾳ ἀναγαγόμεναι αἵ τε Ἀττικαὶ τριάκοντα νῆες καὶ τῶν Κορκυραίων ὅσαι πλοῖμοι ἦσαν ἐπέπλευσαν ἐπὶ τὸν ἐν τοῖς Συβότοις λιμένα, ἐν ᾧ οἱ Κορίνθιοι ὥρμουν, βουλόμεναι εἰδέναι εἰ ναυμαχήσουσιν. Οἱ δὲ τὰς μὲν ναῦς ἀράντες ἀπὸ τῆς γῆς καὶ παρατεταγμένοι μετεώρους ἡσύχαζον, ναυμαχίας οὐ διανοούμενοι ἄρχειν ἑκόντες, ὁρῶντες προσγεγενημένας τε ναῦς ἐκ τῶν Ἀθηνῶν ἀκροφυεῖς καὶ σφίσι πολλὰ τὰ ἄπορα ξυμβεβηκότα, αἰχμαλώτων τε περὶ φυλακῆς, οὓς ἐν ταῖς ναυσὶν εἶχον, καὶ ἐπισκευὴν οὐκ οὖσαν τῶν νεῶν

ραῖοι, ἢν γὰρ νύξ, ἐφοβήθησαν μὴ πολέμιαι ὦσιν, ἔπειτα δὲ ἔγνωσαν) καὶ ὡρμίσαντο». ἄλλοι δὲ γράφουσιν ὑποστιγμὴν μετὰ τὸ ἔγνωσαν, ὁ δὲ Ἑρμογένης λέγει ὅτι, ἐὰν ὑποκείμ. εἶναι τὸ «αἱ Ἀττικαὶ νῆες» καὶ ἡ γνώμη αὕτη εἶναι ἐπιδοκιμαστέα, διὰ μικρᾶς μεταβολῆς ἤθελε γράψῃ «καὶ αἱ ὡρμίσαντο». Ἡμεῖς δεχόμεθα ὑποκείμ. τὸ «οἱ Κορκυραῖοι».

Κεφ. 52. *Οἱ Κορίνθιοι δὲν δέχονται τὴν ὑπὸ Κερκυραίων προταθεῖσαν ναυμαχίαν.*

§ 1. ἀναγαγόμεναι] ὅρα Α', 29, 4. — πλοῖμοι] Α', 50, 4. — ἐπὶ τὸν ἐν τοῖς Συβότοις λιμένα] δηλ. τοῖς τῆς Ἠπείρου. Ἠδύνατο νὰ εἴπῃ καὶ «ἐπὶ τὰ Σύβοτα τὸν λιμένα», ὑπάρχει δὲ εὔχρηστος καὶ ἡ ἑτέρα χρῆσις, ὡς «τὸν ἐν τῇ Φειᾷ λιμένα» (Β', 25, 4), «τὸν ἐν τῇ Μεσσήνῃ λιμένα» (Δ', 25, 6). — βουλόμεναι] κατὰ διόρθωσιν Ἐρυεροῆνος, καθ' ὃν καὶ ὁ Στάλλιος καὶ ὁ Βοίμιος ἀντὶ τοῦ ἐν τοῖς χειρογράφοις «βουλόμενοι», ὃ ὁ Κόβητος τηρεῖ δεχόμενος τὸ κατὰ τὸ σημαινόμενον σχῆμα (Α', 110, 4. Β', 91, 4. Γ', 110, 2). Καὶ εἰς τὰς ναῦς ὁ Θουκυδ. ἀποδίδωσι θέλησιν κατὰ τὴν γνωστὴν προσωποποιίαν, πρβλ. καὶ «ἀπεχώρησάν τινες πόλεις οὐ πολλαὶ» (Ζ', 82, 1) καὶ «ἐπέκπλουν ποιησάμεναι (αἱ νῆες) αἰφνίδιον καὶ κρατήσασαι ναυμαχίᾳ τέσσαρας ναῦς λαμβάνουσι τῶν Ἀθηναίων» (Η', 20, 1). — ναυμαχήσουσιν] οἱ Κορίνθιοι.

§ 2. τὰς μὲν ναῦς ἄραντες] ὁ μὲν ἀποδίδοται εἰς τὸν ἐν § 3 δὲ «τοῦ δὲ οἰκαδε πλοῦ». Εἶναι δὲ τὸ μόνον παράδειγμα παρὰ Θουκυδ. τῆς μετ' αἰτιατ. ναῦς συντάξεως τοῦ αἴρειν, ἄλλοτε δὲ μεταχειρίζεται αὐτὸ ἀπολύτως (ὅρα σημ. Α', 29, 1) αἴρω = ἀναγομαι, ἀναπλέω (κοινῶς σηκώνομαι). — παρατεταγμένοι μετεώρους] = παρατεταγμένοι ἐν τῷ μετεώρῳ = παρατάξαντες τὰς ἑαυτῶν ναῦς μετεώρους, ὥστε εἶναι μετεώρους (ὅρα σημ. Α', 48, 2). Τὸ δὲ μέσον παρατάσσομαι συνήθως τίθεται ἄνευ ἀντικειμένου. — οὐ διανοούμενοι] αἰτιολ. μετοχή, ὑπερ ἀντιτίθεται εἰς τὸ «τοῦ οἴκαδε πλοῦ μᾶλλον διεσκόπουν». — ἄρχειν ἑκόντες] πρβλ. καὶ «ἑκόντας ἄρξαι» (Δ', 73, 2), ὁ Κόβητος δέ, καθ' ὃν καὶ ὁ Ἑρμογένης, ὀβελίζει τὸ «ἑκόντες». — ὁρῶντες] αἰτιολογικὴ μετοχὴ τοῦ «οὐ διανοούμενοι». — ἀκροφυεῖς] = ἀβλαβεῖς, οὔπω μετασχούσας τῆς μάχης καινὰς (ὅρα σημ. Α', 19). — πολλὰ] κατηγορούμ. = τὰ ἄπορα, ἃ ξυμβεβήκασι σφίσιν, ἦν πολλά. — ἄπορα] ἀπορίαι, ἀμηχανίαι, δυσκολίαι. — ξυμβεβηκότα] κατηγ. μετοχὴ τοῦ ὁρῶντες, ἐτέθη δὲ χιαστῶς ἀντὶ τοῦ «καὶ ξυμβεβηκότα σφίσι τὰ ἄπορα πολλά». — αἰχμαλώτων τε κ.τ.λ.] ἐπεξήγησις τοῦ «πολλὰ τὰ ἄπορα», ἐξαρτᾶται δὲ τὸ «αἰχμαλώτων» γενικὴ ἐξ ἀντικειμ. ὂν ἐκ τοῦ «περὶ φυλακῆς». — καὶ ἐπισκευὴν οὐκ οὖσαν] ἐξαρτᾶται ἐκ τοῦ ὁρῶντες, μετέβαλε δὲ τὴν σύνταξιν (πρβλ. καὶ Α', 53, 2) ἀντὶ τοῦ εἰπεῖν «καὶ νεῶν ἐπισκευῆς, ἣ οὐκ ἦν γενέσθαι ἐν χωρίῳ ἐρήμῳ». Τὸ δ' ἐπισκευὴ ἐνταῦθα = μέσον (εὐκολία) ἐπισκευῆς, πρβλ. «οὐδὲ ἄλλη σωτηρία ἐφαίνετο» (Γ', 20, 1) καὶ «οὐκ ἐγίγνετο σφῶν περιτείχισις» (Δ', 131, 1).

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐν χωρίῳ ἐρήμῳ· τοῦ δὲ οἰκαδε πλοῦ μᾶλλον διεσκόπουν ὅπῃ κομισθήσονται, δεδιότες μὴ οἱ Ἀθηναῖοι, νομίσαντες λελύσθαι τὰς σπονδάς, διότι ἐς χεῖρας ἦλθον, οὐκ ἐῶσι ὁρᾶς ἀποπλεῖν.

53. Ἔδοξεν οὖν αὐτοῖς ἄνδρας ἐς κελήτιον ἐσβιβάσαντας ἄνευ κηρυκείου προσπέμψαι τοῖς Ἀθηναίοις καὶ πεῖραν ποιήσασθαι. Πέμψαντές τι ἔλεγον τοιάδε· «Ἀδικεῖτε, ὦ ἄνδρες Ἀθηναῖοι, πολέμου ἄρχοντες καὶ σπονδὰς λύοντες· ἡμῖν γὰρ πολεμίους τοὺς ἡμετέρους τιμωρουμένοις ἐμποδὼν ἵστασθε ὅπλα

πρβλ. καὶ Β',44,3. Δ',35,3. Ε',29,2. Τὸ δὲ νεῶν γενικὴ ἐξ ἀντικειμ. τοῦ ἐπισκευήν. — *ἐν χωρίῳ ἐρήμῳ*] = ὡς εἰκὸς ἐν χωρίῳ ἐρήμῳ, πρβλ. «*ἐν ἐῇ τυχεῖ*» (Β',3,1).

§ 3. *τοῦ οἰκαδε πλοῦ.. διεσκόπουν*] τὴν γενικὴν ταύτην ἄλλοι ἄλλως ἑρμηνεύουσιν (ὅρα Ἀσωπ.Περ.Β',σ.ι'. Κυννήρ.Γραμμ. § 417, σημ. 9), ἐγὼ δὲ νομίζω ὅτι ἡ σύνταξις ἐγένετο κατὰ σύμπτυξιν=τοῦ δὲ οἰκαδε πλοῦ ἐφρόντιζον σκοποῦντες ὅπῃ κομισθήσονται, πρβλ. «*ἐπὶ κατασκοπῇ τῶν τριήρων.. καὶ τοῦ οἰκαδε κατάπλου ὅπως ἡ πόλις πρὸς αὐτὸν ἔχει*» (Ξεν.Ἑλλ.Α', δ',11=καὶ ἐπὶ φροντίδι τοῦ οἰκαδε κατάπλου σκοπῶν ὅπως κ.τ.λ.). Ὁ δὲ Κόβητος μεταγράφει εἰς τὸ «*τὸν δὲ οἰκαδε πλοῦν διεσκόπουν*» κατὰ τὸ «*σκοποῦνται καιρὸν εἴ τις παραπέσοι*» (Δ',23,2.πρβλ. καὶ Γ',58,2.Β',67,4). — *κομισθήσονται*] =πορεύσονται, μεταβήσονται.—*τὰς σπονδὰς*] δηλ. τὰς τριακοντούτεις.—*εἰς χεῖρας ἦλθον*] = συνεπλάκησαν, συνέμιξαν ἀλλήλοις, πρβλ. καὶ τὸ «*εἰς χεῖρας δέχομαί τινα*» (Ξεν.Ἀν.Δ',γ'.31.Ἑλλ.Β',δ',34) καὶ «*εἰς χεῖρας ὑπομένω τινὰ*» (Θουκ.Ε', 72,4)=δέχομαι τὴν συμπλοκὴν πολεμίου. Ἀλλοτε δὲ τὸ «*εἰς χεῖρας ἰέναι*»=εἰς λόγους ἰέναι, διαλέγεσθαί τινι, ὁμιλεῖν (Θουκ. Η',50,3.Ξεν.Ἀναβ.Α',δ',26).—*οὐκ ἐῶσι*]=κωλύωσιν.

Κεφ. 53. *Οἱ Ἀθηναῖοι οὐ κωλύουσι Κορινθίους ἀποπλεῖν.*

§ 1. *κελήτιον*] *μικρὸν πλοιάριον ὑπὸ ἑνὸς ἐρεττόμενον* (Σχολ.), ὅπερ δὲν διακρίνεται τοῦ *κέλητος* (Δ', 120, 2). Ἐν τοιαύτῃ δὲ περιπτώσει ἀλλαχοῦ ποιεῖται μνείαν τοῦ *ἀκατίου* (Α', 29,1).—*ἐσβιβάσαντας*] ἡ αἰτιατικὴ μετὰ τὴν δοτικὴν αὐτοῖς (ὅρα Α',32,1.Β',11,7).—*ἄνευ κηρυκείου*] *κηρυκείου ἐστὶ ξύλον ὀρθὸν ἔχον ἑκατέρωθεν δύο ὄφεις περιπεπλεγμένους καὶ ἀντιπροσώπους πρὸς ἀλλήλους κειμένους, ὅπερ εἰώθασι φέρειν οἱ κήρυκες μεθ' αὑτῶν· καὶ οὐκ ἐξῆν αὐτοὺς ἀδικεῖν παρ' οὓς ἀπῆρχοντο· σύμβολον δὲ ἦν τὸ μὲν ὀρθὸν ξύλον τοῦ ὀρθοῦ λόγου, τὸ δὲ παρ' ἑκάτερον εἶδος τῶν ὄφεων τὰ ἀντιτασσόμενα στρατόπεδα (σημαίνει)· ὁ γὰρ ὀρθὸς λόγος δι' ἀμφοτέρων χωρεῖ*» (Σχολ.). Περὶ τῆς ἑρμηνείας ταύτης τῶν συμβόλων πρβλ. καὶ Plin.N. H.XXIX. 2,12 Servi. ad Verg.Aen.IV,242. Ἡ *ἄνευ κηρυκείου* ἀποστολὴ τῶν ἀνδρῶν γίνεται, ἵνα μὴ θεωρήσωσι τοὺς Ἀθηναίους ὡς ἐχθρούς, πρβλ. «*ἀρότοις ὑμῖν οὐδαμόθεν ἔσται ἄνευ κηρυκείου βαδίσαι διὰ τὰς ὑπὸ τούτων ἀνδροληψίας καὶ αὐλὰς κατεσκευασμένας*» (Δημ.51,13). Ὅτι δὲ διὰ τοῦ ει ὀφείλει νὰ γράφηται φαίνεται ἐκ τοῦ Ἰωνικοῦ *κηρυκήιον*.—*πεῖραν ποιήσασθαι*] δηλ. τῶν Ἀθηναίων = πειραθῆναι αὐτῶν.—*ἔλεγον*] δηλ. διὰ τῶν ἀνδρῶν τῶν πεμφθέντων.

§ 2. *ἄρχοντες πολέμου*] = γινόμενοι πρωταίτιοι πολέμου.— *σπονδὰς λύοντες*] αἰτιολ. μετοχή. Τίθεται ὁ ἀνάρθρως «*σπονδὰς*» (πρβλ. καὶ Α',67,1). — *ἐμποδὼν ἵστασθε*]=ἐμποδίζετε, οὐ ἀντίθετον τὸ «*ἐκποδὼν στῆναί τινι*» (Α',40,4).—*ὅπλα ἀνταιρόμενοι*] τροπικὴ μετοχή, τὸ δ' *ἀνταίρομαι ὅπλα*=αἴρω τὰ ἐμαυτοῦ ὅπλα ἐναν-

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

ἀνταιρόμενοι. Εἰ δ' ὑμῖν γνώμη ἐστὶ κωλύειν τε ἡμᾶς ἐπὶ Κόρκυραν ἢ ἄλλοσε εἴ ποι βουλόμεθα πλεῖν καὶ τὰς σπονδὰς λύετε, ἡμᾶς τοῦσδε λαβόντες πρῶτον χρήσασθε ὡς πολεμίοις». Οἱ μὲν δὴ τοιαῦτα εἶπον· τῶν δὲ Κορκυραίων τὸ μὲν 3 στρατόπεδον ὅσον ἐπήκουσεν ἀνεβόησεν εὐθὺς λαβεῖν τε αὐτοὺς καὶ ἀποκτεῖναι, οἱ δὲ Ἀθηναῖοι τοιάδε ἀπεκρίναντο· «Οὔτε ἄρχομεν πολέμου, ὦ ἄνδρες 4 Πελοποννήσιοι, οὔτε τὰς σπονδὰς λύομεν, Κορκυραίοις δὲ τοῖσδε, ξυμμάχοις οὖσι, βοηθοὶ ἤλθομεν. Εἰ μὲν οὖν ἄλλοσέ ποι βούλεσθε πλεῖν, οὐ κωλύομεν· εἰ δὲ ἐπὶ Κέρκυραν πλευσεῖσθε ἢ ἐς τῶν ἐκείνων τι χωρίων, οὐ περιοψόμεθα κατὰ τὸ δυνατόν».

54. Τοιαῦτα τῶν Ἀθηναίων ἀποκριναμένων οἱ μὲν Κορίνθιοι τόν τε πλοῦν 1 τὸν ἐπ' οἴκου παρεσκευάζοντο καὶ τροπαῖον ἔστησαν ἐν τοῖς ἐν τῇ ἠπείρῳ Συβότοις· οἱ δὲ Κορκυραῖοι τά τε ναυάγια καὶ νεκροὺς ἀνείλοντο τὰ κατὰ σφᾶς

τίον τινὸς=λαμβάνω τὰ ὅπλα μου κατά τινος.—*γνώμη*] κατηγορούμενον.—*πλεῖν*] ἐννοητέον καὶ εἰς τὸ *κωλύειν* καὶ εἰς τὸ *βουλόμεθα*.—*τὰς σπονδὰς λύετε*] διὰ τὴν σύγχυσιν (πρβλ. Α', 15) ἔθηκεν ὁριστικὴν (πρβλ. Δ', 80, 1. Ζ', 56, 3), ἀλλ' ὁ Κόβητος ἔγραψε «*λύειν*», ὅπερ πρότιμᾷ καὶ ὁ Ἑρουερδήν.—*ἡμᾶς τοῦσδε*] ἡ ἀντωνυμία *τοῦσδε* ἔχει ἐπιρρ. σημασίαν (ὅρα Α', 51, 2) =ἡμᾶς ἐδῶ (οἳ ἐνταῦθα ἐσμέν).—*χρήσασθε ὡς πολεμίοις*] οἱ Ἀθηναῖοι ἠδύναντο νὰ μεταχειρίσωνται αὐτοὺς ὡς πολεμίους ἅτε ἄνευ κηρυκείου περῳθέντας.

§ 3. *Τῶν δὲ Κορκυραίων τὸ μὲν στρατόπεδον*] ὤφειλε νὰ εἴπῃ «*τῶν δὲ τὸ μὲν Κορκυραίων στρατόπεδον . . , Ἀθηναίων δέ*», ἀνθ' οὗ εἶπεν «*Ἀθηναῖοι δέ*». Ἀλλ' ὁ μὲν Κόβητος ὀβελίζει τὸ «*τὸ μὲν στρατόπεδον*» καὶ γράφει «*ὅσοι ἐπήκουσαν ἀνεβόησαν*», ὁ δὲ Ἑρουερδὴν γράφει «*τῶν δὲ Κορκυραίων μὲν τὸ στρατόπεδον*».—*ἐπήκουσεν*] τὸ *ἐπακούω τινός* λέγεται περὶ τοῦ ἀκούοντός τι ἐπιμελῶς, προσεκτικῶς καὶ ἀσμένως· οὕτως οἱ θεοί, οἵτινες ταῖς εὐχαῖς τῶν θνητῶν προσέχουσι, λέγονται «*τῶν εὐχῶν ἐπακούειν*» (Ἀριστοφ. Νεφ. 263). πρβλ. καὶ Β', 36, 4. Ξεν. Οἰκ. ιδ', 3. Πλάτ. Γοργ. 487, γ'. Αἰσχίν. 3, 56.

§ 4. *οὐ κωλύομεν*] δηλ. *πλεῖν*.—*ἐς τῶν .. χωρίων*] ὅρα Α', 45, 3.—*οὐ περιοψόμεθα*] δηλ. *ὑμᾶς πλεῖν*=οὐκ ἐάσομεν, κωλύσομεν.—*κατὰ τὸ δυνατὸν*]=κατὰ δύναμιν (Α', 45, 3).

Κεφ. 54. *Οἵ τε Κορίνθιοι καὶ οἱ Κερκυραῖοι ἔστησαν τρόπαια.*

§ 1. *Τοιαῦτα*] ἀσύνδετον, ὡς πολλάκις γίνεται ἐπὶ τῶν δεικτικῶν ἀντωνυμιῶν καὶ ἐπιρρημάτων.—*τὸν ἐπ' οἴκου*]=τὸν οἰκαδε. Περὶ τῆς *ἐπὶ* ὅρα Α', 30, 2.—*παρεσκευάζοντο*] = παρεσκεύαζον ἑαυτούς. Ὁ παρατατικὸς σημαίνει τὴν διάρκειαν τὴν συμβᾶσαν μέχρι τοῦ ἀπόπλου.—*τά τε ναυάγια καὶ νεκροὺς*] διὰ τοῦ τὲ συνδέεται πρὸς τὸ «*καὶ τροπαῖον ἀντέστησαν*» καὶ οὐχὶ πρὸς τὸ «*καὶ νεκρούς*», ὅπερ ἀποτελεῖ ἓν μέρος μετὰ τοῦ «*ναυάγια*», διὸ καὶ ἀνάρθρως ἐτέθη καὶ ἀμφότερα διορίζονται διὰ τῆς μετοχῆς «*ἐξενηχθέντα*». Τὰ δ' ἑτερογενῆ ὀνόματα συνήθως τίθενται μετὰ τοῦ προσήκοντος ἄρθρου (ὅρα Ξεν. Ἀν. Α', δ', 46. Παιδ. Λ', δ', 7. κτλ.), εὑρηνται δ' ὅμως καὶ ἄνευ ἄρθρου (πρβλ. καὶ Δ', 14, 5. Ε', 10, 2. Ζ', 5, 3. Η', 106, 3. Ξεν. Ἀν. Γ', 6', 20. Πλάτ. Ἀπολ. 28, α'. Πλούταρχ. Θεμιστ. Η', 3). Ἡ δὲ τῶν ναυαγίων καὶ τῶν νεκρῶν (πρὸς ἐνταφιασμὸν) ἀναίρεσις ἦν σημεῖον τῆς νίκης. διὸ καὶ περὶ τῶν νικώντων ἐλέγετο «*τοὺς νε-*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐξενεχθέντα ὑπὸ τοῦ ῥοῦ καὶ ἀνέμου, ὃς γενόμενος τῆς νυκτὸς, διεσκέδασεν αὐτὰ πανταχῆ, καὶ τροπαῖον ἀντέστησαν ἐν τοῖς ἐν τῇ νήσῳ Συβότοις ὡς νενικηκότες. Γνώμῃ δὲ ἑκάτεροι τοιᾷδε τὴν νίκην προσεποιήσαντο· Κορίνθιοι μὲν κρατήσαντες τῇ ναυμαχίᾳ μέχρι νυκτός, ὥστε καὶ ναυάγια πλεῖστα καὶ νεκροὺς προσκομισασθαι, καὶ ἄνδρας ἔχοντες αἰχμαλώτους οὐκ ἐλάσσους χιλίων, ναῦς τε καταδύσαντες, περὶ ἑβδομήκοντα, ἔστησαν τροπαῖον· Κορκυραῖοι δὲ τριάκοντα ναῦς μάλιστα διαφθείραντες, καὶ ἐπειδὴ Ἀθηναῖοι ἦλθον, ἀνελόμενοι τὰ

νεκροὺς τοὺς ἑαυτῶν ἀνείλοντο, τοὺς νεκροὺς τοῖς ἐναντίοις ὑποσπόνδους ἀπέδοσαν» (Α', 63, 3. Β' 92, 4), περὶ δὲ τῶν ἡττημένων «τοὺς νεκροὺς ὑποσπόνδους ἀνείλοντο» ἢ «ἐκομίσαντο». — *ἀνείλοντο*] πρβλ. καὶ Β', 92, 4. Ζ', 72, 1. Περὶ μὲν τῶν ναυαγίων λέγεται καὶ τὸ «ἀνελκύσαι» (Ζ', 23, 4) καὶ «προσαγαγέσθαι» (Η', 106, 4), περὶ δὲ ναυαγίων καὶ νεκρῶν τὸ «προσκομίζεσθαι» (Α', 54, 2) καὶ «κρατεῖν» (Α', 50, 3). — *κατὰ σφᾶς*] = πρὸς σφᾶς. — *ἐξενεχθέντα*] πρβλ. καὶ «προσενεχθέντα ὑπὸ τοῦ ῥοῦ» (Ἰώσηπ. Ἀρχ. Ἰουδ. Β', 16, 6). — *ὃς γενόμενος*] τὸ γίγνεσθαι κεῖται ἐπὶ φυσικῶν φαινομένων, *χειμῶνος* (Ξεν. Ἀν. Δ', α', 11), *ὄμβρου* (Πλάτ. Πολ. 359, δ'), *ὕετοῦ* καὶ *ἀνέμου* (Πλάτ. Ἐπινομ. 979, α'), *πνεύματος* (Θουκ. Β', 84, 2) *ὁμίχλης* (Ξεν. Ἀν. Δ', 6', 7), *χιόνος* (Ξεν. Ἀν. Δ', δ', 8), *ὕδατος* (Θουκ. Β', 5, 2), *σεισμοῦ* (Α', 101, 2), *βροντῶν καὶ ἀστραπῶν* (ς', 70, 1), κτλ. — *ἀντέστησαν*] = ἀμοιβαίως ἔστησαν, καὶ αὐτοὶ ἔστησαν. — *ἐν τοῖς ἐν τῇ νήσῳ Συβότοις*] = ἐν τοῖς Συβότοις τοῖς οὖσιν ἐν τῇ νήσῳ (πρβλ. Α', 47, 1), ἐν μιᾷ τῶν νήσων Συβότων, κατ' ἀντίθεσιν πρὸς τὸ «ἐν τοῖς ἐν τῇ ἠπείρῳ Συβότοις». — *ὡς νενικηκότες*] = νομίζοντες ἑαυτοὺς νενικηκέναι. Ὁ Κόβητος, καθ' ὃν καὶ ὁ Ἑρουερδήν, ὀβελίζει τὰς λέξεις ταύτας.

§ 2. *τοιᾷδε*] διασαφεῖται διὰ τῶν ἑπομένων. — *προσεποιήσαντο*] = προσεποίησαν ἑαυτοῖς, ᾠκειοποιήσαντο, *ἰδιοποιήσαντο* (Σχ.λ.). — *Κορίνθιοι μὲν κρατήσαντες*] ὁ Κόβητος, καθ' ὃν καὶ ὁ Ἑρουερδήν, τίθησιν ὑποστιγμὴν πρὸ αὐτοῦ καὶ γράφει «ὡς *κρατήσαντες*» καὶ κατωτέρω «*Κορκυραῖοι δὲ* ὡς *τριάκοντα*», ὀβελίζει δὲ τὸ «*ἔστησαν τροπαῖον*» προσκολλῶν πάντα εἰς τὴν πρότασιν «*τὴν νίκην προσεποιήσαντο*». Φαίνονται ὀλίγον τολμηροὶ οἱ ὀβελισμοὶ οὗτοι. — *κρατήσαντες τῇ ναυμαχίᾳ*] ὄντως οἱ Κορίνθιοι ἐνίκησαν (ὅρα Α', 50, 3). — *προσκομίσασθαι*] ὅρα ἐνταῦθ. § 1 ἐν τῷ *ἀνείλοντο*. Ἀνωτέρω δὲ εἶπε «*προσκομίσαι πρὸς τὰ Σύβοτα*» (Α', 50, 3), τὸ δὲ *προσκομίσασθαι* = προσκομίσαι ἑαυτοῖς, πρὸς ἑαυτούς. — *οὐκ ἐλάσσους*] λιτότης = πλείους. — *χιλίων*] *χίλιοι γὰρ ἦσαν καὶ πεντήκοντα* (Σχολ.), πρβλ. Α', 55, 1. — *καταδύσαντες*] «*ἀντὶ τοῦ τρώσαντες· οὐ γὰρ λέγει ἐπὶ τοῦ βαπτίσαντες. Τοιοῦτο δέ ἐστι καὶ τὸ ἂς καταδύσειαν*» (Α', 50, 1) (Σχολ.). — *τριάκοντα μάλιστα*] = περὶ τριάκοντα (ὅρα Α', 13, 3). — *διαφθείραντες*] ὡς συνώνυμον τοῦ «*καταδύσαντες*» (πρβλ. Β', 84, 3). — *ἐπειδὴ Ἀθηναῖοι ἦλθον*] διότι δὲν ἠδύναντο, ἐὰν μὴ οὗτοι ἦρχοντο. Ὁ Κόβητος δὲ ὀβελίζει τὰς λέξεις ταύτας. — *τὰ κατὰ σφᾶς αὐτούς*] δηλ. ἐξενεχθέντα (§ 1). — *καὶ ὅτι . . ὑπεχώρησαν*] διὰ τοῦ *καὶ* συνδέονται αἰτιολογ. μετοχαὶ «*διαφθείραντες*» καὶ «*ἀνελόμενοι*» μετὰ αἰτιολ. προτάσεως (πρβλ. Α', 1, 1). — *αὐτοῖς*] συναπτέον τῷ «*ὑπεχώρησαν*». — *πρύμναν κρουόμενοι*] πρβλ. Α', 50, 5. — *ἰδόντες τὰς Ἀττικὰς ναῦς*] πρβλ. Α', 51, 1. Ὀβελίζει τὰς λέξεις ταύτας ὁ Κόβητος. — *ἐπειδὴ ἦλθον Ἀθηναῖοι*] ὀβελίζει τὰς λέξεις ταύτας ὁ Κόβητος, καθ' ὃν καὶ ὁ Ἑρουερδήν·

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κατὰ σφᾶς αὐτοὺς ναυάγια καὶ νεκρούς, καὶ ὅτι αὐτοῖς τῇ τε προτεραίᾳ πρύμναν κρουόμενοι ὑπεχώρησαν οἱ Κορίνθιοι ἰδόντες τὰς Ἀττικὰς ναῦς, καὶ ἐπειδὴ ἦλθον οἱ Ἀθηναῖοι, οὐκ ἀντεπέπλεον ἐκ τῶν Συβότων, διὰ ταῦτα τροπαῖον ἔστησαν. Οὕτω μὲν ἑκάτεροι νίκην ἄξιοῦν.

55. Οἱ δὲ Κορίνθιοι ἀποπλέοντες ἐπ' οἴκου, Ἀνακτόριόν ἐστιν ἐπὶ τῷ στόματι τοῦ Ἀμπρακικοῦ κόλπου, εἶλον ἀπάτῃ (ἦν δὲ κοινὸν Κορκυραίων καὶ ἐκείνων), καὶ καταστήσαντες ἐν αὐτῷ Κορινθίους οἰκήτορας ἀνεχώρησαν ἐπ' οἴκου· καὶ τῶν Κορκυραίων ὀκτακοσίους μὲν, οἱ ἦσαν δοῦλοι, ἀπέδοντο, πεντήκοντα δὲ καὶ διακοσίους δήσαντες ἐφύλασσον καὶ ἐν θεραπείᾳ εἶχον πολλῇ, ὅπως αὐτοῖς τὴν Κόρκυραν ἀναχωρήσαντες πρυσποιήσειαν· ἐτύγχανον δὲ καὶ δυνάμει αὐτῶν οἱ πλείους πρῶτοι ὄντες τῆς πόλεως. Ἡ μὲν οὖν Κόρκυρα οὕτω περιγίγνεται τῷ πολέμῳ τῶν Κορινθίων, καὶ αἱ νῆες τῶν Ἀθηναίων ἀνεχώρησαν

—οὐκ ἀντεπέπλεον] —καὶ ὅτι οὐκ ἀντεπέπλεον, δι' οὗ συνδέεται πρὸς τὸ «ὑπεχώρησαν».—νικᾶν] μετὰ σημασίας παρακειμ.—νενικηκέναι, εἶναι νικητάς (ὅρα Ζ', 34, 6).

Κεφ. 55. *Οἵ τε Κορίνθιοι καὶ οἱ Ἀθηναῖοι ἀποπλέουσιν οἴκαδε.*

§ 1. ἐπ' οἴκου] πρβλ. Α', 30,2.54,1.—Ἀνακτόριον] τὸ νῦν *Βόνιτζα*, ὅπερ δὲν εἶναι ἀκριβῶς ἐν τῷ στόματι τοῦ Ἀμπρακικοῦ κόλπου, ἔνθα ὑπάρχει τὸ Ἄκτιον (ἡ *Μπούντα*· ὅρα Α', 29,3), ἀλλ' ὑπάρχει ἔνδον αὐτοῦ περὶ τὰ 40 στάδια (ὅρα Στράβ. Ι', 7, σ. 451).—ἐπὶ τῷ στόματι] ὅπερ εἶναι ὁ πρόκολπος τοῦ Ἀμπρακικοῦ, τοῦ νῦν καλουμένου κόλπου τῆς Ἄρτης.—εἷλον ἀπάτῃ] ὡς φίλοι γὰρ οὐχ ὑπωπτεύοντο (Σχολ.).—κοινὸν Κορκυραίων καὶ ἐκείνων]—κοινὴ ἀποικία. Ὁ Στράβων (Ι', 8, σ. 452) καὶ ὁ Παυσανίας (Ε', κγ', 2) λέγουσι τὸ Ἀνακτόριον ἀποικίαν Κορινθίων, ὁ δὲ Σκύμνος (459) τῶν Ἀκαρνάνων καὶ Κορινθίων.—καταστήσαντες .. οἰκήτορας] τὸ οἰκήτορας εἶναι κατηγορούμενον. Τοὺς δ' οἰκήτορας τῶν Κερκυραίων, οἵτινες ἐκεῖ ἦσαν, ἐξέωσαν (πρβλ. Δ', 49).—οἱ ἦσαν δοῦλοι] οὗτοι ἦσαν οἱ ἐρέται τῶν Κερκυραϊκῶν πλοίων, οὓς συνέλαβον ἐν ταῖς αἰχμαλώτοις ναυσίν.—πεντήκοντα καὶ διακοσίους] οὗτοι ἦσαν οἱ ἐπιβάται τῶν αἰχμαλωτισθέντων Κερκυρϊκῶν πλοίων.—δήσαντες ἐφύλασσον] πρβλ. «δήσαντας ἔχειν» (Α', 29, 5).—καὶ ἐν θεραπείᾳ εἶχον πολλῇ]—καὶ ἐθεράπευον πολύ, περιεποιοῦντο, πρβλ. «τὸν Καλλίβιον ἐθεράπευον πάσῃ θεραπείᾳ» (Ξεν. Ἑλλ. Β', γ', 14). Ὅμοια εἶναι καὶ τὸ «ἐν φυλακῇ» (Δ', 14,5), ἐν ἡδονῇ (Γ', 9,1), ἐν ὀργῇ (Β', 8, 5), ἐν αἰτίᾳ (Β', 59, 2), ἐν ὁρμῇ (Β', 89, 1) ἔχειν τινά.—προσποιήσειαν]—ἕνωσιν, συνδέσειαν (πρβλ. Β', 2, 2). Τὸ μὲν προσποιῶ τινά τινι=concilio alicui, τὸ δὲ μέσ. προσποιοῦμαί τινα=concilio mihi. Περὶ δὲ τοῦ πράγματος ὅρα Γ', 70, 1.—δυνάμει] συναπτέον τῷ πρῶτοι=τῇ πολιτικῇ αὐτῶν δυνάμει, πρβλ. καὶ τὸ «δυνατώτατοι» (Α', 2,6).

§ 2. περιγίγνεται τῷ πολέμῳ τῶν Κορινθίων] τὸ «τῷ πολέμῳ» δοτικὴ ὀργανική, τὸ δὲ «τῶν Κορινθίων» ἐξαρτᾶται ἐκ τοῦ «περιγίγνεται»=ὑπερτερεῖ τῶν Κορινθίων διὰ τοῦ πολέμου. Τοῦτο δὲ συνίσταται οὐ μόνον εἰς τὸ ὅτι ἔμειναν αὐτοὶ ἀβλαβεῖς, ἀλλὰ καὶ εἰς τὸ ὅτι διετήρησαν ὁριστικῶς τὴν ὑπεροχὴν αὐτῶν ἐν τῇ Ἐπιδάμνῳ (Κροάζετος). Ἄλλοι δὲ μὴ δεχόμενοι τὴν σημασίαν ταύτην (ὅρα καὶ Β', 65,13) πρβλ. καὶ «τῷ πολέμῳ κατὰ κρά-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀθηναίους, ὅτι σφίσιν ἐν σπονδαῖς μετὰ Κορκυραίων ἐναυμάχουν.

56. Μετὰ ταῦτα δ' εὐθὺς καὶ τάδε ξυνέβη γενέσθαι τοῖς Ἀθηναίοις καὶ Πελοποννησίοις διάφορα ἐς τὸ πολεμεῖν. Τῶν γὰρ Κορινθίων πρασσόντων ὅπως τιμωρήσονται αὐτούς, ὑποτοπήσαντες τὴν ἔχθραν αὐτῶν οἱ Ἀθηναῖοι Ποτειδαιάτας, (οἱ οἰκοῦσιν ἐπὶ τῷ ἰσθμῷ τῆς Παλλήνης, Κορινθίων ἀποίκους, ἑαυτῶν δὲ ξυμμάχους φόρου ὑποτελεῖς) ἐκέλευον τὸ ἐς Παλλήνην τεῖχος καθελεῖν

τους αὐτῶν, περιέσεσθαι» (Προκοπ. σ. 207) καὶ «περιέσεσθαι τῷ πολέμῳ τῶν ἐναντίων» (αὐτ. σ. 254), ἑρμηνευουσιν, ὡς ὁ Κλαστήριος καὶ Βοίμιος, διὰ τοῦ «ἀφίζει ἑαυτήν, διασῴζεται ἀβλαβὴς κατὰ Κορινθίων». Ἀλλὰ τὴν σημασίαν ταύτην ἔχει τὸ περιγίγνεσθαι ἄνευ τῆς γενικῆς (ὅρα Γ', 11, 5. Δ', 27, 1. Ε', 97). διὰ τοῦτο ὁ Ἐρουερδὴν ὀβελίζει τὸ «τῶν Κορινθίων» ὡς διαστρέφον τὴν ἔννοιαν. τοῦ περιγίγνεται ἐνταῦθα ἄντος = salva fuit (Mnemos. I. p. 73). Δυνάμεθα δὲ νὰ ἐκλάβωμεν ὅτι τὸ μὲν «τῷ πολέμῳ» ὁριστικὴν χρονικήν, πρβλ. «ἐς τὸ πεδίον ἐκείνῃ τῇ ἐσβολῇ οὐ καταβῆναι» (Β', 20, 2) καὶ «μάχῃ τῇ ἐν τῇ ἡμετέρᾳ γῇ γενομένῃ παρεγενόμεθα ὑμῖν τε καὶ Παυσανίᾳ» (Γ', 54, 4), τὸ δὲ «τῶν Κορινθίων» ὡς γενικὴν ἐξ ἀντικειμ. τοῦ «πολέμῳ» = ἐν τῷ κατὰ Κορινθίων πολέμῳ ἀβλαβὴς ὑπῆρξεν = περιγίγνεται πολεμοῦσα τοῖς Κορινθίοις. — αἰτία δὲ αὕτη] περὶ τῆς ἐλλείψεως τοῦ ἄρθρου πρβλ. «κίνησις γὰρ αὕτη» (Α', 1, 2). Ὁ Κόβητος ὀβελίζει τὴν γενικὴν «πολέμου», διότι τὸ αἰτία = ἔγκλημα (πρβλ. Α', 66. 79, 1), τὸ δὲ πολέμου προσετέθη ὑπό τινος νομίσαντος ὅτι τὸ αἰτία = causa belli. — ἐς τοὺς Ἀθηναίους] = κατὰ τῶν Ἀθηναίων. — αφίσιν] = κατ' αὐτῶν (τῶν Κορινθίων). — ἐν σπονδαῖς] = διαρκουσῶν τῶν σπονδῶν, ἐν καιρῷ σπονδῶν, ἐν εἰρήνῃ (Β', 5, 5).

Κεφ. 56. *Οἱ Ἀθηναῖοι κελεύουσι τοὺς Ποτειδαιάτας ἵνα καθαιρήσωσι τὸ ἐν τῇ Παλλήνῃ τεῖχος φοβούμενοι ἀπόστασιν αὐτῶν τῇ βοηθείᾳ Κορινθίων.*

§ 1. τάδε] διάφορα] ἀνάρθρως, διότι τὸ μὲν τάδε εἶναι ὑποκείμ., τὸ δὲ διάφορα κατηγορ. — διαφοραί, ὑποκείμενα ριλανθρωπίας. — ἐς τὸ πολεμεῖν] = πρὸς τὸ πολεμεῖν ἀλλήλους.

§ 2. γὰρ] διασαφητικός. — πρασσόντων ὅπως] ἀσχολουμένων, προσεχόντων τὸν τρόπον (πῶς)· πρβλ. Α', 57, 4. 65, 2. Γ', 4, 6. — τιμωρήσονται αὐτούς] δηλ. τοὺς Ἀθηναίους. Τὸ δὲ μέσ. τιμωροῦμαί τινα = τιμωρῶν ἐμαυτῷ κολάζω τινά. — Ποτειδαιάτας] αὕτη εἶναι ἡ ἀληθὴς γραφὴ μαρτυρουμένη καὶ ἐξ ἐπιγραφῶν Ἀττικῶν (ὅρα Stahl Quaest. Gramm. σ. 38. Herwerd. Stud. Thucyd. σ. 121). Ἡ δὲ Ποτείδαια ἐκτίσθη πρὸ τῶν Περσικῶν πολέμων, ἀλλ' ἄγνωστον πότε. Ἔκειτο δ' ἐν τῷ ἰσθμῷ τῆς Παλλήνης καὶ ἐκαλεῖτο πρότερον μὲν Φλέγρα, ὕστερον δὲ Ποτείδαια καὶ μετὰ ταῦτα Κασσάνδρεια (Στράβ. Ζ', 27, σ. 330). — ἐπὶ τῷ ἰσθμῷ τῆς Παλλήνης] ὁ ἰσθμὸς νῦν καλεῖται πόρτα τῆς Κασσάνδρας, ἣν δὲ πεντεστάδιος (Στράβ. Ζ', 25, σ. 330). ἡ δὲ Παλλήνης χερσόνησος περιεῖχε πόλεις Θήραμβον, Σκιώνην, Μένδην, Σάνην, Ποτείδαιαν. — φόρου ὑποτελεῖς] πρβλ. Α', 19. — τὸ ἐς Παλλήνην τεῖχος] ἡ Ποτείδαια κατελάμβανε τὸν ἰσθμὸν διὰ δύο τειχῶν, ἑνὸς μὲν πρὸς βορρᾶν ἵνα προφυλάττηται ἐκ τῶν προσβολῶν τῶν Θρᾳκῶν, ἑτέρου δὲ πρὸς νότον διὰ τὴν ἀπὸ τῶν κατὰ θάλασσαν προσβολῶν ἀσφάλειαν. Τοῦτο τὸ δεύτερον τεῖχος οἱ Ἀθηναῖοι ἐκέλευσαν αὐτοὺς νὰ χρημνίσωσι = τὸ μέρος τοῦ τείχους τὸ ἀφορῶν εἰς τὴν Παλλήνην (Σχολ.), ὅρα σημ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ ὁμήρους δοῦναι, τούς τε ἐπιδημιουργοὺς ἐκπέμπειν καὶ τὸ λοιπὸν μὴ δέχεσθαι οὓς κατὰ ἔτος ἕκαστον Κορίνθιοι ἔπεμπον, δείσαντες μὴ ἀποστῶσιν, ὑπό τε Περδίκκου πεῖθόμενοι καὶ Κορινθίων, τούς τε ἄλλους ἐπὶ Θράκης ξυναποστήσωσι ξυμμάχους.

57. Ταῦτα δὲ περὶ τοὺς Ποτειδαιάτας οἱ Ἀθηναῖοι προπαρεσκευάζοντο εὐθὺς μετὰ τὴν ἐν Κορκύρᾳ ναυμαχίαν· ᾔδεσαν γὰρ Κορινθίους φανερῶς ἤδη διαφόρους ὄντας, Περδίκκας τε ὁ Ἀλεξάνδρου, Μακεδόνων βασιλεύς, ἐσπολέμωτο ξύμμαχος πρότερον, καὶ φίλος ὤν. Ἐπολεμοῦντο δέ, ὅτι Φιλίππῳ τῷ ἑαυτοῦ

Α', 64, 4. — καθελεῖν] = κατακρημνίσαι (Α', 57, 6. 101, 2. 117, 3, κτλ.), ἄλλως δὲ ἐν Β', 75, 4 καὶ ἐπὶ προσώπων = καταργεῖν (Α', 139, 1). — ὁμήρους] τοὺς ἕνεκα εἰρήνης διδομένους εἰς ἐνέχυρα (Σχολ.). — ἐπιδημιουργούς] «οἱ Ἀσκληπιάδης τὴν ἐπὶ πρόθεσιν περιττὴν εἶναι λέγει» (Σχόλ.), διότι ἀλλαχοῦ παρὰ τοῖς Δωριεῦσι μνημονεύονται δημιουργοί. Ἡσύχιος (ἐν τῇ λ.) «παρὰ τοῖς Δωριεῦσιν οἱ ἄρχοντες τὰ δημόσια πράττοντες ὥσπερ Ἀθήνησιν οἱ δήμαρχοι» (πρβλ. Ε', 47, 9). Σχολ. «ἐπιδημιουργοὶ ἄρχοντες πέμπόμενοι, φυλάρχων τάξιν ἔχοντες». Ἡ δ' ἐπὶ σημαίνει ἐπιστασίαν ὡς ἐν τῷ ἐπιβουκόλος (Λοβέκ, Παραλειπ. σ. 386, σημ. 104). — δείσαντες] δηλ. οἱ Ἀθηναῖοι. — ἐπὶ Θράκης] = παρὰ τὴν Θρᾴκην, ὡς ἐπὶ τῆς Λακωνικῆς (Ε', 34, 1). Δηλοῦται δὲ αὕτη ἡ χώρα, ἥτις καλεῖται τὰ ἐπὶ Θράκης (Α', 59, 1. 68, 4. Β', 9, 4. Δ', 78, 1. 82. 104, 4. Ε', 21, 1), περιέχουσα τὴν Χαλκιδικὴν χερσόνησον μετὰ τῶν ἀκτῶν τῆς Ἀμφιπόλεως πρὸς ἀνατολὰς διηκουσῶν. Οἱ ἐν ταύτῃ τῇ χώρᾳ διατρίβοντες ἢ στρατεύοντες καλοῦνται οἱ ἐπὶ Θράκης ξύμμαχοι (Δ', 102, 1. 122, 2), οἱ ἐπὶ Θράκης· Χαλκιδῆς καὶ Βοττιαῖοι (Α', 57, 3), οἱ ἐπὶ Θράκης στρατιῶται (Ε', 35, 5. 67, 1). Λέγεται δὲ αὕτη ἡ χώρα καὶ Θρᾴκη, ὡς οἱ ἀπὸ Θράκης (Ε', 34, 1. 35, 6. 38, 1), πρβλ. σημ. Α', 60, 3. Δὲν ἐπαναλαμβάνεται δ' ἐνταῦθα τὸ ἄρθρον, πρβλ. Α', 44, 2.

Κεφ. 57. *Οἱ λόγοι, δι' οὓς οἱ Ἀθηναῖοι ἐβοήθουν τὴν τῶν Ποτειδαιατῶν ἀποστασιν.* — § 1. Ταῦτα δὲ] ὁ Κρυγῆρος γράφει «ταῦτα δή», ὁ δὲ Κλασσήνιος παρατηρεῖ ὅτι τὸ δὴ τίθεται μόνον, ὅταν ἡ νέα φράσις περιέχῃ τὴν ἔννοιαν τῆς προτέρας ἄνευ προσθήκης τινός, ἐν ᾧ ἐνταῦθα προστίθεται τὸ «εὐθὺς μετὰ τὴν ἐν Κορκύρᾳ ναυμαχίαν». — περὶ τοὺς Ποτειδαιάτας] χειρόγραφά τινα ἔχουσι «παρὰ» καὶ ἕτερα «πρός». — προπαρεσκευάζοντο] = ταύτας τὰς παρασκευὰς προπαρεσκεύαζον ἑαυτοῖς.

§ 2. διάφοροι] = ἐχθροί. — Περδίκκας] ἀποθανόντος τοῦ Ἀλεξάνδρου τοῦ φιλέλληνος καλουμένου καὶ ἐπὶ τῶν Περσικῶν πολέμων ἀκμάζοντος (Ἡροδ. Ε', 19, κ. ἑ. Π', 136 κ. ἑ. Θ', 44 κ. ἑ., Θουκ. Β', 99, 3) διεδέξατο αὐτὸν ὁ Περδίκκας εἰς τὸ βασίλειον τῆς Μακεδονίας τῆς παρὰ τὴν Θάλασσαν (Β', 99, 1), τῆς δ' ὑπεράνω Μακεδονίας τὴν ἀρχὴν παρεχώρησε τῷ ἀδελφῷ αὐτοῦ Φιλίππῳ, ὃν ὕστερον ἐξέβαλεν ἐκεῖθεν (Θουκ. Β', 100, 3). — ἐσπεπολέμωτο] = πόλεμός ἐγεγόνει τοῖς Ἀθηναίοις, πρβλ. «πεπολέμωται καὶ ἐκπεπολέμωται ὁ εἰς ἔχθραν προαχθεὶς τινὶ καὶ πολέμιος γενόμενος, ἐξεπολέμωσε δὲ ὁ πολέμιόν τινα ἑτέρῳ ποιήσας· πεπολέμηται δὲ ὁ πολεμηθείς (Θωμ. Μάγιστρ. σ. 703, 3). — ὤν] = εἰ καὶ ἦν.

§ 3. Φιλίππῳ] ὁρα Β', 95, 1—2. — Ἀέρδᾳ] «Ἀέρδας Ἀριδαίου παῖς, ἀνεψιὸς Περδίκκα καὶ Φιλίππου» (Σχολ.)· οὗτος μετὰ τῶν ἀδελφῶν αὐτοῦ, ὧν εἷς ἐκαλεῖτο Παν-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀδελφῷ καὶ Δέρδᾳ κοινῇ πρὸς αὐτὸν ἐναντιουμένοις οἱ Ἀθηναῖοι ξυμμαχίαν ἐποιήσαντο. Δεδιὼς τε [ὁ Περδίκκας] μὴ διαβὰς ἐς τὴν Λακεδαίμονα πέμπων ὅπως πόλεμος γένηται αὐτοῖς πρὸς Πελοποννησίους, καὶ τοὺς Κορινθίους προσεποιείτο τῆς Ποτειδαίας ἕνεκα ἀποστάσεως· πρόσφορος δὲ λόγους καὶ τοῖς ἐπὶ Θρᾴκης Χαλκιδεῦσι καὶ Βοττιαίοις ξυναποστῆναι, νομίσων, εἰ ξυμμαχα ταῦτα ἔσοι ὁμοῦ, ῥᾷον χωρὶς αὐτῶν κρατήσειν τοῦ πολέμου· μετ' αὐτῶν ποιεῖσθαι. Ὧν οἱ Ἀθηναῖοι αἰσθόμενοι καὶ βουλόμενοι προκαταλαμβάνειν τῶν πόλεων τὰς ἀποστάσεις (ἔτυχον γὰρ τριάκοντα ναῦς ἀποστέλλοντες καὶ χιλίους ὁπλίτας ἐπὶ τὴν γῆν αὐτοῦ, Ἀρχεστράτου τοῦ Λυκομήδους μετ' ἄλλων τεσσάρων στρατηγοῦντος), ἐπιστέλλουσι τοῖς ἄρχουσι τῶν νεῶν, Ποτειδαιατῶν τε ὁμήρους λαβεῖν καὶ τὸ τεῖχος καθελεῖν, τῶν τε πλησίον πόλεων φυλακὴν ἔχειν ὅπως μὴ ἀποστήσονται.

§ 4. *ἔπρασσον ὅπως*] πρβλ. Α', 56, 2.—*καὶ προσεποιοῦντο*] μετὰ τὸ *τε* μετεβλήθη ἡ σύνταξις ἀπὸ μετοχῆς εἰς ὁριστικὴν ἔγκλισιν (πρβλ. Γ', 36, 2. Δ', 4, 2. 72, 1).—*αὐτοῖς*] δηλ. *τοῖς Ἀθηναίοις*.—*πέμπων*] ἠδύνατο καὶ νὰ ἐλλείπῃ. πρβλ. *ἃς τε τὴν Πελοπόννησον ἔπρασσον ὅπῃ ὠφελία τις γενήσεται* (Α', 65, 2).—*οἷς Ποτειδαίας*] ἐξαρτᾶται ἐκ τοῦ «ἀποστάσεως».—*ἕνεκα*] συναπτέον τῷ «ἀποστάσεως».

§ 5. *προσέφερε δὲ λόγους*] = συμφωνίας προέτεινε, διεπραγματεύετο = εἰς λόγους ἦλθε (πρβλ. Β', 70, 1).—*Χαλκιδεῦσιν*] ὅρα Α', 58, 2.—*Βοττιαίοις*] ὅρα Β', 99.—*ξυναποστῆναι*] = ὁμοῦ ποιήσασθαι ἀπόστασιν, τὸ δὲ *ξυναποστῆσαι* (Α', 56, 2) = ποιῆσαί τινας ὁμοῦ ἀποστῆναι. Ἐξαρτᾶται δὲ τὸ ἀπαρέμφ. ἐκ τοῦ *προσέφερε λόγους*, ὡς εἰ μετεχειρίζετο τὸ ἁπλοῦν *ἔλεγεν*.—*τὸν πόλεμον*] τὸν πόλεμον, ὃν εἶχε κατὰ νοῦν, *τὸν κατὰ Φιλίππου καὶ τῶν Ἀθηναίων* (Σχολ.).—*μετ' αὐτῶν*] δηλ. *τῶν Κορινθίων* (Ἐρουερδήν).

§ 6. *ὧν.. αἰσθόμενοι*] γενικὴ διαιρετική, πρβλ. καὶ «ὧν ἐνθυμηθέντες» [Α' 42, 1)· ὅρα Γ. Ζηκῖδ. Συντ. § 347, 5. Τὸ δὲ «ὧν γένους οὐδετέρου.—*τὰς ἀποστάσεις*] «ἀπόστασίς ἐστιν, ὅταν τινὲς κακῶς πάσχοντες ἀποστῶσιν· ἐπανάστασις δέ, ὅταν τινὲς τιμώμενοι καὶ μηδὲν ἀδικούμενοι στασιάσωσι καὶ ἐχθρεύσωσι τοῖς μηδὲν ἀδικήσασιν» (Σχολ. Θουκ. Γ', 39).—*ἔτυχον γὰρ*] ὁ γὰρ αἰτιολογεῖ τὸ μετὰ τὴν παρένθεσιν ῥῆμα «*ἐπιστέλλουσι*», πρβλ. καὶ Α'. 31, 2.—*ἀποστέλλοντες*] «κυρίως *ἀποστέλλειν* ἐστὶ τὸ διὰ νεὼς ἐκπέμπειν· ὅθεν καὶ *στόλος* λέγεται ὁ πολλῶν νεῶν ἀπόπλους· καταχρηστικῶς δὲ *ἀποστέλλειν* λέγεται καὶ τὸ δι' ἑτέρου τινὸς ἐκπέμπειν» (Σχολ. Εὐρ. τ. Α', σ. 250, 12).—*αὐτοῦ*] δηλ. τοῦ Περδίκκου, πρβλ. Α', 59, 1.—*μετ' ἄλλων τεσσάρων*] κατὰ διόρθωσιν τοῦ Κρυγήρου, διότι κατωτέρω (Α', 61, 1) οἱ Ἀθηναῖοι ἔπεμψαν «*Καλλίαν τὸν Καλλιάδου πέμπτον αὐτὸν στρατηγόν*», ὅτ' οὐ συμπληροῦται ὁ νόμιμος ἀριθμὸς τῶν 10 στρατηγῶν, τὸ δ' ἐν τοῖς χειρογράφοις γεγράμενον «*μετ' ἄλλων δέκα*» προῆλθεν ἐκ κακῆς ἀναγνώσεως τοῦ γράμματος Δ' ἀντὶ τοῦ *δέκα* ληφθέντος.—*ἐπιστέλλουσι*] = *ἐντέλλονται· οὕτω γὰρ ἦσαν ἀπαφημίσαντες*» (Σχολ.).—*τῶν νεῶν*] συναπτέον τῷ «*τοῖς ἄρχουσι*» = ναυάρχοις.—*τὸ τεῖχος καθελεῖν*] ὅρα Α', 56, 2.—*τῶν τε πλησίον πόλεων φυλακὴν ἔχειν ὅπως μὴ*]

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

58. Ποτειδαιᾶται δὲ πέμψαντες μὲν καὶ παρ' Ἀθηναίους πρέσβεις, ὅπως πείσειαν, μὴ σφῶν πέρι νεωτερίζειν μηδέν, ἐλθόντες δὲ καὶ ἐς τὴν Λακεδαίμονα μετὰ Κορινθίων, [ἐπρασσον] ὅπως ἑτοιμασαντο τιμωρίαν, ἢν δέῃ, ἐπειδὴ ἐξῆλθε Ἀθηνῶν ἐκ πολλοῦ πρασσόντες οὐδὲν ἧσσον ἐπεῖδον, ἀλλ' αἱ νῆες αἱ ἐπὶ Μακεδονίαν καὶ ἐπὶ σφᾶς ὁμοίως ἔπλεον, κατὰ τέλη τῶν Λακεδαιμονίων ὑπέσχετο αὐτοῖς, ἢν ἐπὶ Ποτείδαιαν ἴωσιν Ἀθηναῖοι, ἐς τὴν Ἀττικὴν ἐσβαλεῖν· τότε δὴ κατὰ τὸν καιρὸν τοῦτον, ἀφιστανται μετὰ Χαλκιδέων καὶ Βοττιαίων κοινῇ ξυνομόσαντες. Καὶ Περδίκκας πείθει Χαλκιδέας τὰς ἐπὶ θαλάσσῃ πόλεις ἐκλιπόντας καὶ καταβαλόντας ἀνοικίσασθαι ἐς Ὄλυνθον μίαν γενικῇ ἐξ ἀντικείμ. τοῦ φυλακὴν. Εἶναι δ' ἐνταῦθα σχῆμα προλήψεως ἀντὶ τοῦ «ἔχειν φυλακὴν (φυλάσσειν) ὅπως μὴ αἱ πλησίον πόλεις ἀποστήσονται», πρβλ. καὶ «ἦλθε τοῖς Ἀθηναίοις εὐθὺς ἀγγελία τῶν πόλεων ὅτι ἀφεστᾶσιν» (=ὅτι αἱ πόλεις. Α',61,1).

Κεφ. 58. *Οἱ Ποτειδαιῆται μετὰ Χαλκιδέων καὶ Βοττιαίων ἀφίστανται τῶν Ἀθηναίων.*

§ 1. εἴ πως πείσειαν] = si qua forte illis persuaderent. Ἐνταῦθα παραλείπεται ῥῆμα ἀπόπειρατικὸν = πειρώμενοι ἵνα ἴδοιεν εἴ πως πείσειαν (ὅρα Γ.Ζηκίδ.Συντ. § 583).—σφῶν πέρι] ἡ περὶ μετὰ γενικῆς =τῇ περὶ μετ' αἰτιατικῆς, πρβλ. «καινοτομεῖν περὶ τῶν θείων» (Πλάτ.Εὐθύφρ.5, α')=«καινοτομεῖν περὶ τὰ θεῖα» (αὐτ. 3, δ') καὶ «μηδὲν νεώτερον ποιεῖν περὶ τῶν ἀνδρῶν» (Β', 6, 2) καὶ «μηδὲν περὶ σφᾶς νεώτερον βουλεύσειν» (Δ',51).—νεωτερίζειν] = νεώτερα ποιεῖν (Σχολ.), καινοτομεῖν (ἐπὶ κακῆς συνήθως σημασίας), σχεδιάζειν κακὰ κατά τινος ἢ κατὰ τῆς πολιτείας, ὡς ἐν τῇ λατιν. τὸ novas res moliri (πρβλ. Β',31,1. 6,2). — ἔτρασσον] ὁ Πόππος ὠθέλισεν αὐτό.—ἑτοιμάσαιντο τιμωρίαν]=ἑτοιμάσειαν ἑαυτοῖς βοήθειαν.—ἢν δέῃ] = εἰ δέει.—ἐξ τε Ἀθηνῶν] κατὰ διόρθωσιν Κοβήτου, ἐὰν δὲ ἦν Ἀθηναίων, ὤφειλε νὰ εἴπῃ «παρά τε Ἀθηναίων».—ἐκ πολλοῦ] = ἀπὸ πολλοῦ καιροῦ, ἤδη (πρβλ. Β',85,2). — πράσσοντες] ὅρα Α'. 56,2.— ηὔροντο] ὅρα Α',31,2. —ἐπιτήδειον] = ῥιλικὸν (πρβλ. Α', 60,2). — ἐπὶ σφᾶς] δηλ. Ποτειδαιάτας (ὅρα Α', 20, 1. 55,2).—ὁμοίως] πρβλ. καὶ Α',141,1. — καὶ τὰ τέλη] «οἱ Λακεδαιμόνιοι τοὺς ἄρχοντας τέλη ἐκάλουν» (Σχολ.), πρβλ. καὶ σημ. Α',48,3. Συνδέεται ὁ καὶ μετὰ τοῦ τε ἐν τῷ «ἔκ τε Ἀθηνῶν» καὶ εἶναι δευτέρα πρότασις ἐξαρτωμένη ἐκ τοῦ ἐπειδή. —τότε δή] ἡ ἀπόδοσις τοῦ ἐπειδή.—κατὰ τὸν καιρὸν τοῦτον] ὁ Κόβητος ὠθελίζει τὰς λέξεις ταύτας, καθ' ὃν καὶ ὁ Ἐρυκεβήν (ὅρα Exerc.Crit.p.147,Stud.p.12), ἀλλὰ τοῦτο μετὰ τὸ τότε δὲν πλεονάζει, ἀλλ' ἀκριβέστερον διορίζει αὐτὸ = κατὰ τὴν ἁρμοδίαν ταύτην περίστασιν, πρβλ. καὶ «τότε δὴ κατὰ τὸν καιρὸν τοῦτον σημαίνει» (Β', 84, 3) καὶ «τότε τοίνυν κατ' ἐκεῖνον τὸν καιρὸν» (Δημ. 18, 180) καὶ «*jam tum illis temporibus*» (Nep.Thras.II,4).

§ 2. τὰς ἐπὶ θαλάσσῃ πόλεις ἐκλιπόντας] «ἐφοβοῦντο γὰρ τοὺς θαλασσοκράτορας Ἀθηναίους ὄντες παραθαλάσσιοι» (Σχολ.). Τίνες δ' ἦσαν αἱ πόλεις αὗται δὲν εἶναι ἀρκούντως γνωσταί.—καταβαλόντας] χρημνίσαντας. — ἀνοικίσασθαι ἐς Ὄλυνθον] = ἀνοικίσαι ἑαυτοὺς ἐς Ὄλυνθον (ὅρα Α',7), δὲν ἐννοεῖται δὲ ἀντικείμ. τὸ αὐτάς, ὡς ὁ Κρούζετος νομίζει, ἀλλ' εἶναι=τὸν ἀνοικισμὸν ποιήσασθαι, μετοικῆσαι ἐκ τοῦ παραλίου εἰς τὸ μεσόγειον, πρβλ. καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τε πολιν ταύτην ἰσχυραν ποιήσασθαι· τοῖς τε ἐκλιποῦσι τούτοις τῆς ταύτῃ Μυγδονίας περὶ τὴν Βόλβην λίμνην εἶδωκε γίγνεσθαι, ἕως ἂν ὁ πρὸς Ἀθηναίους πόλεμος ᾖ. Καὶ οἱ μὲν ἀνῳκίζοντό τε καθαιροῦντες τὰς πόλεις καὶ ἐς πόλεμον παρεσκευάζοντο.

59. Αἱ δὲ τριάκοντα νῆες τῶν Ἀθηναίων ἀφικνοῦνται ἐς τὰ ἐπὶ Θράκης καὶ καταλαμβάνουσι τὴν Ποτείδαιαν καὶ ἄλλα ἀφεστηκότα. Νομίσαντες δὲ οἱ στρατηγοὶ ἀδύνατα εἶναι πρός τε Περδίκκαν πολεμεῖν καὶ παρούσῃ δυνάμει καὶ τὰ ξυναφεστῶτα χωρία, τρεπονται ἐπὶ τὴν Μακεδονίαν, ἐφ' ὅπερ καὶ τὸ πρότερον ἐξεπεμποντο, καὶ καταστάντες ἐπολέμουν μετὰ Φιλίππου καὶ τῶν ἀδελφῶν ἀνωθεν Δέρδου ἀδελφῶν στρατιᾷ ἐσβεβληκότων.

60. Καὶ ἐν τούτῳ οἱ Κορίνθιοι τῆς Ποτειδαίας ἀφεστηκυίας καὶ τῶν Ἀτ-

Διόδωρ. ΙΒ', 34, 2. — *ταύτην*] ἀντικείμενον τὸ δὲ *μίαν πόλιν ἰσχυρὰν κατηγαρούμενον*. — *τοῖς ἐκλιποῦσι τούτοις*] = τούτοις, οἳ ἐξέλιπον. — *τῆς ἑαυτῆς γῆς*] γενικὴ διαιρετικὴ ἐξαρτωμένη ἢ ἐκ τοῦ «*περὶ τὴν Βόλβην λίμνην*» κατὰ τὸν Κρυγῆρον καὶ Κλασσήνιον ἢ ἐκ τοῦ «*νέμεσθαι*» κατὰ Κροάζετον παραβάλλοντα πρὸς τὸ «*τῆς γῆς τέμνειν*» (Α', 30, 2). — *Μυγδονίας*] χώρας λεγομένης μεταξὺ τῶν ποταμῶν Ἀξίου καὶ Στρυμόνος, ἣν κατῴκουν οἱ Ἠδῶνες (Θουκ. Β', 99, 3). Ὁ δὲ Ἄξιος ἐχώριζε τὴν Μυγδονίαν ἀπὸ τῆς χώρας τῶν Βοττιαίων (Ἡρόδ. Ζ', 123). — *περὶ τὴν Βόλβην*] ἡ περὶ δὲν σημαίνει τὸ πέριξ, ἀλλὰ τὸ ἐγγύς. Ἡ Βόλβη (ὅρα Δ', 103, 1) καλεῖται ὑπὸ *Κόνιος ἢ Μπεσίκια*, δὲν εἶναι δὲ ἡ ὑπὸ Ἡροδότου (Ε', 17) *Πρασιὰς* — *νέμεσθαι*] ὅρα Α', 2, 2. — *ἕως ἄν*] = ἕως ὅτου, ἐφ' ὅσον. — *καθαιροῦντες τὰς πόλεις*] ὅπερ ἀνωτέρω εἶπε «*καταβαλόντας*».

Κεφ. 59. *Πόλεμος Ἀθηναίων πρὸς Περδίκκαν.*

§ 1. *τὰ ἐπὶ Θράκης*] οὕτω συνήθιζον οἱ Ἀθηναῖοι νὰ καλῶσι τὴν Χαλκιδικὴν ἀκτὴν μέχριτῆς Ἀμφιπόλεως (ὅρα Α', 56, 2). — *καταλαμβάνουσι*] = εὑρίσκουσι, διὸ καὶ μετὰ κατηγορ. μετοχῆς «*ἀφεσεηκότα*», ἀνθ' οὗ μικρὸν ὄπισθεν εἶπε «*ξυναφεστῶτα*».

§ 2. *ἀδύνατα εἶναι*] ἀντὶ τοῦ ἐνικοῦ «*ἀδύνατον*» (ὅρα Α', 7, 1). Ὁ δὲ Κόβητος γράφει «*ἀδύνατοι*» (Α', 32, 5. 105, 3. Β', 81, 1. 100, 1). — *καὶ τὰ ξυναφεστῶτα*] = καὶ πρὸς τὰ ξυναφεστῶτα (= τὰ σὺν τῇ Ποτειδαίᾳ ἀφεστηκότα χωρία). — *τρέπονται*] = τρέπουσιν ἑαυτούς, πορεύονται. — *ἐφ' ὅπερ*] = ἐπὶ τὸ ἐπὶ τὴν Μακεδονίαν τραπέσθαι (ὅρα Ἀσωπ. Περ. Β', σ. 902, § 139. Γραμμ. Κυννήρ. § 361, 2). πρβλ. καὶ Ϛ', 47, 1. — *τὸ πρότερον*] = πρότερον (πρβλ. Γ', 116, 1). — *καταστάντες*] τινὲς μὲν ἑρμηνεύουσι διὰ τοῦ «*φθάσαντες*» ἢ διὰ τοῦ «*καταπαύσαντες*», πρβλ. «*καταστάντες ἐς Ῥήγιον τῆς Ἰταλίας τὸν πόλεμον ἐποιοῦντο*» (Γ', 86, 5. πρβλ. καὶ Γ', 92, 6). Κατ' ἄλλους δὲ ἑρμηνεύεται διὰ τοῦ «*ἐκ τοῦ συστάδην συμπλακέντες*» (πρβλ. Α', 49, 3. Ε', 4, 4). διάφορον δ' εἶναι τὸ «*καταστάντες ξυνεχῶς ἐπολέμουν*» (Β', 1) = ἀρχὴν τοῦ πολέμου ποιήσαντες (Σχολ.). — *ἄνωθεν*] ἐκ τῆς μεσογείας· «*ὥσπερ τὸν Περδίκκαν μεταξὺ ἀπολῃφθῆναι*» (Σχολ.), πολεμούντων αὐτῷ τῶν Ἀθηναίων ἐκ συμφώνου μετὰ τοῦ Φιλίππου καὶ τῶν ἀδελφῶν τοῦ Δέρδου (ὅρα Α', 57, 3).

(Γ',33,2), «*ἀπὸ τοῦ Βουδόρου καὶ τῆς Σαλαμῖνος*» (Γ',51,2), κτλ. Κακῶς δὲ ταῦτα νομίζονται ὅτι κεῖνται κατὰ τὸ ἓν διὰ δυοῖν σχῆμα = τοὺς Πελοποννησίους, τουτέστι τοὺς ἀστυγείτονας (Κουάζετος), διότι ἐνταῦθα τὸ «*οἱ Πελοποννήσιοι*» ἀντίκειται χιαστῶς εἰς τὸ τῶν Ἀθηναίων «*οἳ ... θαλάσσης ἐμπειρότατοί εἰσι*», τὸ δὲ «*οἱ ἀστυγείτονες*» (ὑπλ. οἱ Ἀρκάδες καὶ οἱ Ἀργεῖοι) πρὸς τὸ «*οἳ γῆν ἑκὰς ἔχουσιν*».—*παρόμοιος*] ὁ Στάλλιος τονίζει *παρομοῖος* (Quest. Gram σ. 33), ὁμοίως δὲ καὶ ὁ Ἐρουερδὴν (Θουκ. Τ. Α', σ. 72. 17. 117,7), ἀλλ' ὕστερον μεταβαλὼν γνώμην λέγει ὅτι ἡ ἀναλογία ἀπαιτεῖ τὸ *παρόμοιος* (Θουκ. Τ. Α' praefat. p. VIII), κακῶς δὲ ὑπὸ τοῦ Πολυδεύκους ἑρμηνεύεται «*ὃ γὰρ παρόμοιος παρ' ὀλίγον ὅμοιός ἐστι*» (Θ',130) = σχεδὸν ὅμοιος, διότι κατὰ Βονίτζιον ἡ παρὰ σημαίνει σύγκρισιν = παραβαλλομένη πρὸς τοὺς Πελοπον. καὶ τοὺς ἀστυγείτονάς ἐστιν ὁμοία (πρβλ. καὶ Α', 132,3), πρβλ. Σχολ. «*ἐκ παραλλήλου· πεζομάχοι γὰρ πάντες*», κακῶς δὲ καὶ ὁ Κροάζετος ἑρμηνεύει διὰ τοῦ «*ἀντίπαλος ὥστε παρατάττεσθαι*». —*ἡ ἀλκή*] = τὰ πολεμικὰ ἡμῶν μέσα.—*διὰ ταχέων*] = ταχέως (πρβλ. Γ', 13,2. Δ',8,4. 96,1. 125,4. Γ',66,2. κτλ.), πρβλ. καὶ *διὰ τάχους* (Α', 63,2).—*ἐφ' ἕκαστα*] = εἰς ἑκάστην πόλιν αὐτῶν ἐλθεῖν ἢ ἐναντίον αὐτῶν. Σχολ. «*ἐφ' ἕκαστα, λείπει χωρία*». —*ἑκὰς*] = μακρὰν (ἡμῶν). — *θαλάσσης*] ἀνάρθρως (ὅρα Γ. Ζηκίδ. Συντ. § 62,3). —*ἐξήρτυνται* = *εὐτρεπισμένοι εἰσί* (Σχολ.), παρεσκευασμένοι εἰσὶ (πρβλ. Α', 13, 1. 82, 1), πρβλ. καὶ «*τοῖς πᾶσιν ἄριστα παρεσκευασμένην*» (Β', 11, 6).—*καὶ ἵπποις καὶ ὅπλοις*] ταῦτα πάντα εἶναι κατ' ἐπεξήγησιν διορισμοὶ τοῦ «*καὶ τοῖς ἄλλοις ἅπασιν*». *Ἵπποι* δὲ καὶ *ὅπλα* φαίνεται ὅτι εἶναι αὐτοὶ οἱ *ἱππεῖς* καὶ οἱ *ὁπλῖται*. Κατ' ἄλλους δὲ τίθενται κυριολεκτικῶς καὶ *ὅπλα* εἶναι πᾶν εἶδος ὅπλου πρὸς ἐξάρτυσιν τοῦ στρατοῦ. Περὶ δὲ τῆς δυνάμεως τῶν Ἀθηναίων ὅρα Β', 13.—*ὄχλῳ*] = πλήθει, ὅπερ ἠδύνατο νὰ χρησιμεύσῃ καὶ διὰ τὰς ναῦς καὶ διὰ τοὺς ἵππους καὶ διὰ τὰ ὅπλα. Ἄλλοι δὲ ἐκλαμβάνουσιν ἁπλῶς = ἀνθρώπων πληθύν, τὸ πολυάνθρωπον.—*ὅσος... ἐστίν*] αἱ Ἀθῆναι ἦσαν πόλις πολυανθρωποτάτη (Β',64,3. Ξεν. Ἑλ. Β',ϛ',24) ἔχουσα πλείονας τῶν δεκακισχιλίων οἰκιῶν (Ξεν. Ἀπομ. Γ', ϛ', 14. Οἰκ. η', 22). Τῷ 317 π. Χ. ἐπὶ Δημητρίου τοῦ Φαληρέως γενομένης ἀπογραφῆς εὑρέθησαν ἐν Ἀθήναις 21000 Ἀθηναῖοι πολῖται, 10000 μέτοικοι καὶ 400000 δοῦλοι (Κτησικλ. παρ' Ἀθην. ϛ', σ. 272). —*οὐκ ἐν ἄλλῳ ἑνί γε χωρίῳ Ἑλληνικῷ*] = ἐν οὐδενί γε ἄλλῳ χωρίῳ Ἑλληνικῷ. —*φόρου ὑποτελεῖς*] πρβλ. Α',19. Ζ',57, 3,4. —*πρὸς τούτους*] ἐπαναλαμβάνει τὴν προλεχθεῖσαν ἔννοιαν «*πρὸς δὲ ἄνδρας*» διὰ τὰς πολλὰς παρενθέσεις.—*ῥᾳδίως*] = ἀπερισκέπτως (πρβλ. Α',73,1).—*πόλεμον ἄρασθαι*] τὸ αἴρομαι *πόλεμον*, ὅπερ παρ' ἡμῖν λέγεται *σηκώνω πόλεμον*, εἶναι αἴρω πόλεμον ἐπ' ἐμαυτοῦ (ἐπάνω μου) οἷον ὡς φορτίον, πρβλ. «*σὺ τὸν ὄνον ἀράμενος φέρε*» (Ἀριστοφ. Βατ. 32).—*τίνι*] οὐδετέρου γένους μετὰ γενικῆς ἐννοίας, διὰ ἀ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σκεύους ἐπειχθῆναι; Πότερον ταῖς ναυσίν; ἀλλ' ἥσσους ἐσμέν· εἰ δὲ μελετήσομεν καὶ ἀντιπαρασκευασόμεθα, χρόνος ἐνέσται. Ἀλλὰ τοῖς χρήμασιν; ἀλλὰ παλῷ ἔτι πλέον τούτου ἐλλείπομεν καὶ οὔτε ἐν κοινῷ ἔχομεν οὔτε ἑτοίμως ἐκ τῶν ἰδίων φέρομεν. 4

81. «Τάχ' ἄν τις θαρσοίη ὅτι τοῖς ὅπλοις αὐτῶν καὶ τῷ πλήθει ὑπερφέρομεν, ὥστε τὴν γῆν δῃοῦν ἐπιφοιτῶντες. Τοῖς δὲ ἄλλη γῆ ἐστι πολλὴ ἧς ἄρχουσι, καὶ ἐκ θαλάσσης ὧν δέονται ἐπάξονται. Εἰ δ' αὖ τοὺς ξυμμάχους ἀφι- 1 2 3

ναφέρονται εἰς αὐτὸ τὰ πληθ. *ναυσὶ..χρήμασιν*.—*ἐπειχθῆναι*] ἀόρ. παθ. μετὰ σημ. μέσης=νὰ σπεύσωμεν, νὰ βιασθῶμεν. Ἐξαρτᾶται δὲ ἐκ τοῦ *χρή*. — *ἀλλ' ἥσσους ἐσμεν*] σχῆμα ἀνθυποφορᾶς.

§ 4. *εἰ δὲ μελετήσομεν*] ἢ ὑπονοητέον τὸ «τὰς ναῦς» ἢ «τὰ ναυτικά», πρβλ. «*μελετήσομεν καὶ ἡμεῖς ἐν πλέονι χρόνῳ τὰ ναυτικά*» (Α', 121,4) ἢ ἐκληπτέον ἀπολύτως = *μελέτας ποιησόμεθα* (Β', 86,5).—*ἀντιπαρασκευασόμεθα*] = καὶ ἡμεῖς ἐπίσης παρασκευασόμεθα.—*ἐνέσται*] = μεταξὺ γενήσεται (ὀλ *μεσολαβήσῃ*), πρβλ. Ε',38.4. Ὡσαύτως καὶ τὸ *χρόνος ἐγγίγνεται* (Α', 113,1. Δ', 111,2) καὶ *διατριβὴ ἐγγίγνεται* (Η', 9, 2).—*τούτου ἐλλείπομεν*]=τούτου τοῦ πράγματος (ὀηλ. τῶν χρημάτων) κατώτεροι τῶν ἐχθρῶν ἐσμεν. Τῆς μετὰ γενικῆς συντάξεως αὐτοῦ ὅρα Πλάτ. Φαιδρ. 269, δ'. Θεάγ. 123 ἀ. Ὁ δὲ Κόβητος γράφει «*τούτῳ*» ὡς καὶ ὁ Κρυγῆρος (πρβλ. Β', 61, 4. Ε', 97) καὶ «*προθυμίᾳ ἐλλιπεῖς ἦσαν*» (Ϛ',69,1).—*ἐν κοινῷ*] *ταμείῳ δηλονότι* (Σχολ.)πρβλ. Α',141.3, ἀλλὰ καὶ «*ἐν τῷ κοινῷ*» (Ϛ', 6,3. 8,2. Η',1,2).—*οὔτε ἑτοίμως ἐκ τῶν ἰδίων φέρομεν*] ὀηλ. *χρήματα*. Τὸ μὲν *ἑτοίμως*=προχείρως, ὡς οὐκ ἔχοντες, τὸ δὲ *φέρομεν*=εἰσφέρομεν=οὐχ ἑτοίμοι,οἷοί τε *φέρειν ἐσμέν*. πρβλ. «*οὔτε ἰδίᾳ οὔτε ἐν κοινῷ χρήματά ἐστιν αὐτοῖς*» (Α', 141,2) καὶ «*φαύλως δὲ ἔχει καὶ περὶ τὰ κοινὰ χρήματα τοῖς Σπαρτιάταις· οὔτε γὰρ ἐν τῷ κοινῷ τῆς πόλεως ἔστιν...εἰσφέρουσί τε κακῶς*» (Ἀριστ. Πολ. Β', 0', 23).

Κεφ. 81. *Ὁ πόλεμος οὐχὶ ὀλιγοχρόνιος ἔσται, ἢν ἅπαξ ἀρξώμεθα αὐτοῦ*».

§ 1. *Τάχ' ἄν τις θαρσοίη*] τὸ ἀσύνθετον διὰ τὴν γοργότητα τῆς μεταβάσεως εἰς ἕτερον ἐπιχείρημα. Ὁ δὲ Κρυγῆρος εἰκάζει νὰ γραφῇ «*τάχ' ἄν δέ τις*».—*τοῖς ὅπλοις*]=τοῖς ὁπλίταις.—*αὐτῶν*] ὀηλ. τῶν Ἀθηναίων συναπτέον δὲ τῷ *ὑπερφέρομεν*. —*καὶ τῷ πλήθει*] ὀηλ τῶν συμμάχων (πρβλ. Α',83,1. 121,2. 143,1. Β',11,3) καὶ οἱ ὁπλῖται ὃς (τὰ ὅπλα) εἶναι οὐ μόνον τῶν Λακεδαιμονίων (πρβλ. Ε', 68,3 καὶ Β', 13,6) ἀλλὰ καὶ τῶν ἄλλων Πελοποννησίων συμμάχων, οὓς ἕνεκα γίνονται ὑπέρτεροι τῶν Ἀθηναίων ὁπλιτῶν. Ἄλλοι δὲ τὸ «*τοῖς ὅπλοις καὶ τῷ πλήθει*» νομίζουσιν ἓν διὰ δυοῖν=τῷ πλήθει τῶν ὅπλων (ὁπλιτῶν).—*ὑπερφέρομεν*] ὀλιγώτερον σύνηθες τοῦ *διαφέρομεν* (=ὑπερέχομεν), μόνον δ' ἐνταῦθα παρὰ Θουκυδίδῃ (πρβλ. Ἡροδ. Θ',96. Σοφ. Οἰδ. Τ. 381. Ἀριστοφ. Ἱππ. 584. Ξεν. Λακ. Πολ. ιε',3). —*ἐπιφοιτῶντες*] = συχνὰ ἐπιόντες, δι' ἐπανειλημμένων ἐπιδρομῶν, ἡ δ' *ἐπὶ* ἐπὶ ἐχθρικῆς κινήσεως.

§ 2. *Τοῖς δὲ*]=ἀλλ' αὐτοῖς (πρβλ. Α', 65. 5).— *ἄλλη γῆ*] *Θράκη καὶ Ἰωνία* (Σχολ.).—*ἐκ θαλάσσης*] *τὸ ἐκ ἀντὶ τοῦ διὰ* (Σχολ.).—*ἐπάξονται*]=*εἰσάξουσι* (Σχολ.) ἔξωθεν ἑαυτοῖς (πρβλ. Ϛ',99,4), ὅθεν καὶ *ἄκτος ἐπακτὸς* (Ϛ',20,4) καὶ *ἐπαγωγὴ* τῶν *ἐπιτηδείων* (Ε', 82,5. Ζ', 24,3). Ἀντ' αὐτοῦ δὲ συνηθέστερον εἶναι τὸ *ἐσάγεσθαι*.

§ 3. *εἰ δ' αὖ*] τὸ αὖ προστίθησι νέαν περίστασιν.—*τοὺς ξυμμάχους*] τῶν Ἀθη-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

στάναι πειρασόμεθα, δεήσει καὶ τούτοις ναυσὶ βοηθεῖν, τὸ πλέον οὖσι νησιώταις. Τίς οὖν ἔσται ἡμῶν ὁ πόλεμος; Εἰ μὴ γὰρ ἢ ναυσὶ κρατήσομεν ἢ τὰς προσό- 4
δους ἀφαιρήσομεν ἀφ' ὧν τὸ ναυτικὸν τρέφουσι, βλαψόμεθα τὰ πλείω. Κἂν 5
τούτῳ οὐδὲ καταλύεσθαι ἔτι καλόν, ἄλλως τε καὶ εἰ δόξομεν ἄρξαι μᾶλλον τῆς διαφορᾶς. Μὴ γὰρ δὴ ἐκείνῃ γε τῇ ἐλπίδι ἐπαιρώμεθα ὡς ταχὺ παυθήσεται 6
ὁ πόλεμος, ἢν τὴν γῆν αὐτῶν τέμωμεν. Δέδοικα δὲ μᾶλλον μὴ καὶ τοῖς παισὶν αὐτὸν ὑπολίπωμεν· οὕτως εἰκὸς Ἀθηναίους φρονήματι μήτε τῇ γῇ δουλεῦσαι μήτε ὥσπερ ἀπείρους καταπλαγῆναι τῷ πολέμῳ.

ναίων δηλ.—*καὶ τούτοις*] ὁ καὶ σημαίνει ὅτι ὅπως τοὺς Ἀθηναίους ναυσὶ μόνον ἠδύναντο νὰ βλάψωσιν, οὕτω καὶ τοῖς συμμάχοις ναυσὶ δεήσει βοηθεῖν. Κατά τινας δὲ ὁ καὶ συναπτέος τῷ *βοηθεῖν*. — *τὸ πλέον*]=κατὰ τὸ πλεῖον=τοῖς πλείοσιν.

§ 4. *Τίς οὖν ἔσται ἡμῶν ὁ πόλεμος*] τὸ *τίς* σημαίνει ποιότητα=ποῖος τὴν ἔκβασιν; Κατ' ἄλλους δὲ=πῶς οὖν ἡμεῖς αὐτοῖς πολεμήσομεν; Ὁ Κόβητος ἀντὶ τοῦ ἡμῶν γράφει ἡμῖν.—*τὰς προσόδους ἀφαιρήσομεν*] *διὰ τὸ ἀποστῆσαι τοὺς συμμάχους* (Σχολ.), πρβλ. Α', 122,1. Ὁ Κόβητος δὲ γράφει «*ὑφαιρήσομεν*» (πρβλ. Γ', 13,7.82,2); πρβλ. ὅμως Γ', 31,1. — *ἀφ' ὧν*] ἡ ἀπὸ σημαίνει τὸ ὑλικὸν μέσον (ὅρα Γραμμ. Κυννήγ. § 430,1, f). — *βλαψόμεθα*] μέσ. μέλλ. μετὰ παθητ. διαθέσεως, πρβλ. «*ὑπὸ τῶν ἱππέων οὐ βλάψονται ἄξιον λόγου*» (Ξ', 64, 1). — *τὰ πλείω*] σύστοιχον ἀντικείμ.=τὰς πλείους βλάβας (ἢ οἱ Ἀθηναῖοι)=μᾶλλον ἢ ἐκεῖνοι.

§ 5. *Κἂν τούτῳ*]=καὶ ἐν ταύτῃ τῇ περιπτώσει (καὶ τότε), δηλ. εἰ ἡμεῖς βλαψόμεθα τὰ πλείω.—*καταλύεσθαι*]=καταπαύειν τὸν πρὸς ἀλλήλους πόλεμον, διαλλάττεσθαι τοῖς ἐχθροῖς (πρβλ. Δ', 18,4. Ε', 15,2.17,2. Η', 58,7).—*ἄρξαι*]=πρωταιτίους γενέσθαι (πρβλ. Α', 144,2).—*μᾶλλον*] ὁ δεύτερος ὅρος τῆς συγκρίσεως εἶναι τὸ «ἢ εἰ μὴ *πολεμήσομεν αὐτεῖς*». κατ' ἄλλους δὲ τὸ «*Ἀθηναίων*» καὶ κατ' ἄλλους τὸ «ἢ *ἀμύνασθαι αὐτοὺς ἄρχοντας ταύτης*».—*γὰρ δή*] τὸ *δή*=ἤδη, πλέον.

§ 6. *μὴ ἐκείνῃ τῇ ἐλπίδι ἐπαιρώμεθα*]=μὴ ἐπαιρώμεθα (παρακινώμεθα) εἰς πόλεμον ἐκ τῆς ἐλπίδος ἐκείνης ὅτι κτλ. Ἡ ἐλπὶς δὲ αὕτη ἐπεκράτει ἐν Σπάρτῃ (Ε', 14,3). Τὸ *ἐπαίρομαι* παθητικὸν (πρβλ. Α', 42, 2. 83, 3. 84,2.120,3), διάφορον δ' ἐν Α', 25, 4.—*τέμωμεν*] κατὰ διόρθωσιν τοῦ Κοβήτου ἀντὶ τοῦ ἐν τοῖς χειρογράφοις «*τάμωμεν*», ὅπερ εἶναι Ἰωνικόν.—*ὑπολίπωμεν*] «*Ὅμηρος· μηδ' ἡμῖν τεκέεσσί τ' ὀπίσσω πῆμα λίποιτο*» (Σχολ.), πρβλ. Ἰλ. Γ, 160. Τὸ *ὑπολείπειν*=λείπειν τι ὀπίσω, εἰς τὸ μέλλον.—*οὕτως . . δουλεῦσαι*]=τόσον εἶναι ἀληθὲς ὅτι οἱ Ἀθηναῖοι διὰ τὴν μεγαλοφροσύνην αὐτῶν οὔτε τοῖς ἀγροῖς θὰ δουλεύσωσι (προσκεκολλημένοι ὄντες αὐτοῖς καὶ μὴ δυνάμενοι νὰ ἀνάσχωνται τὴν ἐρήμωσιν αὐτῶν). — *εἰκὸς . . δουλεῦσαι . . ἐκπλαγῆναι*] τὸ *εἰκὸς ἔσει* παρὰ Θουκυδίδῃ συντάσσεται ἀπαρεμφάτῳ ἀορίστου ἄνευ τοῦ *ἂν* ἔχοντι σημασίαν μέλλοντος (ὅρα Γ', 10,6.Δ', 60,2), οὐδέποτε δὲ ἀπαρεμφ. μέλλοντος.—*φρονήματι*] εἶναι ῥῆματ. οὐσιαστ. τοῦ *μέγα φρονεῖν*, τὸ δὲ *φρόνησις* τοῦ *εὖ φρονεῖν*, πάντοτε δὲ τὸ *φρόνημα* παρὰ Θουκ. = θάρρος, μεγαλοφροσύνη, ὑπερηφανία (πρβλ. Β', 43,6.61, 3.62,3.Γ', 45,4.Δ', 80,3.Ε', 40,3.43,2. Ζ', 18, 4).

Κεφ. 82. *Ἀνάγκη πολεμικῆς παρασκευῆς ἐκ τινα χρόνον, μεθ' ἣν πολεμοῦμεν τοῖς Ἀθηναίοις ἄμεινον παρεσκευασμένοι, ἐὰν μὴ προσέχωσι ταῖς δικαίαις ἡμῶν αἰτήσεσιν.*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

82. « Οὐ μὴν οὐδὲ ἀναισθήτως αὐτοὺς κελεύω τούς τε ξυμμάχους ἡμῶν ἐᾶν βλάπτειν καὶ ἐπιβουλεύοντας μὴ καταφωρᾶν, ἀλλὰ ὅπλα μὲν μήπω κινεῖν, πέμπειν δὲ καὶ αἰτιᾶσθαι μήτε πόλεμον ἄγαν δηλοῦντας μήθ' ὡς ἐπιτρέψομεν, κἂν τούτῳ καὶ τὰ ἡμέτερα αὐτῶν ἐξαρτύεσθαι ξυμμάχων τε προσαγωγῇ καὶ Ἑλλήνων καὶ βαρβάρων, εἴ ποθέν τινα ἢ ναυτικοῦ ἢ χρημάτων δύναμιν προσληψόμεθα (ἀνεπίφθονον δὲ ὅσοι ὥσπερ καὶ ἡμεῖς ὑπ' Ἀθηναίων ἐπιβουλευόμεθα μὴ Ἕλληνας μόνον, ἀλλὰ καὶ βαρβάρους προσλαβόντας διασωθῆναι), καὶ τὰ αὐτῶν ἅμα ἐκποριζώμεθα. Καὶ ἤν μὲν ἐσακούωσί τι πρεσβευομένων ἡμῶν, ταῦτα ἄριστα· ἢν δὲ μή, διελθόντων ἐτῶν καὶ δύο καὶ τριῶν ἄμεινον ἤδη, ἢν

§ 1. *Οὐ μὴν οὐδὲ*] = nec vero magis (πρβλ. Α', 3,3). εἶναι δὲ ἰσχυρότερον ἢ τὸ «οὐδὲ μήν». — *ἀναισθήτως*] ἐνταῦθα = ἀναλγήτως, ἀπαθῶς, εἶναι δὲ διάφορον τοῦ Α', 69,3. Συναπτέον δὲ τῷ «ἐᾶν» = οὐ *κελεύω* (ἡμᾶς) *ἀναισθήτως ἐᾶν αὐτοὺς* (τοὺς Ἀθηναίους) *βλάπτειν τοὺς ξυμμάχους ἡμῶν*. — *καταφωρᾶν*] = ἐλέγχειν (Σχολ.). — *ἀλλὰ*] δηλ. *κελεύω*. — *δηλοῦντας*] ἀναφέρεται εἰς τὸ ἐννοούμ. ὑποκείμ. τοῦ *αἰτιᾶσθαι* τὸ ἡμᾶς. Τὸ δὲ *πόλεμον δηλοῦν* = φανερῶς πόλεμον κηρύττειν, προαγορεύειν. — *μήθ' ὡς ἐπιτρέψομεν*] = μήτε δηλοῦντας ὡς ἐπιτρέψομεν δηλ. αὐτοῖς βλάπτειν τοὺς ξυμμάχους ἡμῶν. Τὸ *ὡς ἐπιτρέψομεν* κεῖται ἐκ παραλλήλου πρὸς τὸ *πόλεμον*. — *κἂν τούτῳ*] χρονικῶς = καὶ ἐν τῷ μεταξὺ τούτῳ (interea). — *καὶ τὰ ἡμέτερα αὐτῶν*] = πρὸς τῷ αἰτιᾶσθαι καὶ τὴν ἡμῶν αὐτῶν δύναμιν. — *ἐξαρτύεσθαι*] πρβλ. Α', 80,3. — *ξυμμάχων προσαγωγῇ*] τὸ προσαγωγὴ συνήθως μὲν = πρόσοδος πρός τινα (Ξεν. Παιδ. Ζ', ε', 45), ἐνταῦθα δὲ = προσέλκυσις, προσπορισμός, πρβλ. καὶ τὸ «προσάγομαί τινα» (Β', 30, 2). — *Ἑλλήνων καὶ βαρβάρων*] γενικαὶ ἐξ ἀντικειμένου, πρβλ. «*πρεσβείας μέλλοντες πέμπειν παρὰ βασιλέα καὶ ἄλλοσε ἐς τοὺς βαρβάρους, εἴ ποθέν τινα ὠφελίαν ἤλπιζον ἑκάτεροι προσλήψεσθαι*» (Β', 7, 1). — *ἀνεπίφθονον*] = *ἄψογον, ἀμώμητον* (Σχολ.). — *ὅσοι ὥσπερ καὶ ἡμεῖς ἐπιβουλευόμεθα*] τὸ ῥῆμα καθ' ἕλξιν ἐτέθη κατὰ τὸ ὑποκείμ. τῆς παραβολικῆς προτάσεως ἀντὶ τοῦ «*ὅσοι ἐπιβουλεύονται, ὥσπερ καὶ ἡμεῖς (ἐπιβουλευόμεθα)*», ὡς «*ἀλλ' ἦν οἱ ἡγεμόνες, ὥσπερ νῦν ὑμεῖς διαγνώμας ποιήσησθε*» (Γ', 67,7) ὅρα Γραμμ. Κυννήρ. § 600, 1. Ἀσωπ. Π. Β', σ. 915, § 178. Εἰσ. εἰς Σύντ. σ. 62, § 15. Ἀλλ' ὁ Κόβητος ὀβελίζει τὸ «*ὥσπερ καὶ ἡμεῖς*». — *καὶ τὰ αὐτῶν ἐκποριζώμεθα*] = καὶ τὰ ἡμῶν αὐτῶν παρασκευαζώμεθα (πρβλ. Α', 125,2), πάσῃ δυνάμει ποριζώμεθα. Ὁ δὲ Σχολ. = «*πορισμὸν ζωῆς ἐκ τῶν ἡμετέρων ἔχωμεν*». Τινὰ τῶν χειρογράφων ἔχουσι «*τὰ αὐτῶν*», ὅπερ ἑρμηνεύεται διὰ τοῦ «*τὰ τῶν συμμάχων*», ὁ δὲ Ἐρουερδὴν νομίζων ὅτι τὸ «*τὰ αὐτῶν*», ὅπερ μόνον ἐνταῦθα ἀπαντᾷ, δὲν εἶναι Θουκυδίδειον ἀντὶ τοῦ «*τὰ ἡμέτερα αὐτῶν*» (ὅρα Stud p. 14), εἰκάζει ὅτι ὀφείλει νὰ γραφῇ «*τὰ αὐτόθεν*» = domestica belli praesidia. Εἶναι δὲ ἐνταῦθα ἀνακολουθία ἕνεκα τῆς παρενθέσεως ἀντὶ τοῦ «*καὶ τῷ ἐκποριζεσθαι*», διότι ἀνταποκρίνεται τῷ «*ξυμμάχων τε προσαγωγῇ*».

§ 2. *ἦν ἐσακούωσί τι*] πρβλ. καὶ «*ὅπως σφίσιν ὅτι μεγίστη πρόφασις εἴη τοῦ πολεμεῖν, ἢν μή τι ἐσακούωσιν*» (Α', 126,11). Τινὰ τῶν χειρογράφων ἔχουσιν «*ἐσακούσωσί τι*», ἀλλὰ προτιμότερος ὁ ἐνεστὼς = ἐὰν διδῶσιν ἀκράσιν. — *πρεσβευομένων ἡμῶν*] = ἡμῶν διὰ πρέσβεων διαπραγματευομένων, πρέσβεις πεμπόντων. — *ταῦτα ἄριστα*] ὁ Ἐρουερδὴν ὀβελίζει τὰς λέξεις ταύτας, ἀλλ' ὁ Κόβητος παρατηρεῖ ὅτι

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δοκῇ, πεφραγμένοι ἴμεν ἐπ' αὐτούς. Καὶ ἴσως ὁρῶντες ἡμῶν ἤδη τήν τε παρασκευὴν καὶ τοὺς λόγους αὐτῇ ὁμοῖα ὑποσημαίνοντας μᾶλλον ἂν εἰκοίεν, καὶ γῆν ἔτι ἄτμητον ἔχοντες καὶ περὶ παρόντων ἀγαθῶν καὶ οὔπω ἐφθαρμένων βουλευόμενοι. Μὴ γὰρ ἄλλο τι νομίσητε τὴν γῆν αὐτῶν ἢ ὅμηρον ἔχειν καὶ οὐχ ἧσσον ὅσῳ ἄμεινον ἐξείργασται· ἧς φείδεσθαι χρὴ ὡς ἐπὶ πλεῖστον, καὶ μὴ ἐς ἀπόνοιαν καταστήσαντας αὐτοὺς ἀληπτοτέρους ἔχειν. Εἰ γὰρ ἀπαράσκευοι τοῖς τῶν ξυμμάχων ἐγκλήμασιν ἐπειχθέντες τεμοῦμεν αὐτήν, ὁρᾶτε ὅπως μὴ αἰ-

3

4

5

συμβαίνει ἔλλειψις, ἐὰν ἔπηται τὸ *εἰ δὲ μή, ὡς «καὶ ἦν μὲν ξυμβῇ ἡ πεῖρα, εἰ δὲ μή, Μυτιληναίοις εἰπεῖν»* (Γ', 3, 3), οὐχὶ δὲ καὶ ἐὰν ἔπηται τὸ *ἦν δὲ μή, ὡς «ἢν μὲν δυνατὸν ᾖ εἶσω ἀπῶσαι ἄμφω, ταῦτα ἄριστα· ἢν δὲ μὴ οἷόν τε ᾖ κτλ.»* (Ἱπποκρ. περὶ Νόσ. γυν. Τ. Γ', σ. 602). Ἡ τοῦ Κοβήτου παρατήρησις δὲν εἶναι ἀνεξαίρετος, διότι ἑπομένου καὶ τοῦ *«εἰὰν δὲ μή»* ὑπάρχει ἔλλειψις, ὡς *«εἰὰν μὲν ἐκόντες ὑπείκωσιν· εἰὰν δὲ μὴ ἐπιτρέπῃ ἡ πόλις»* (Πλάτ. Πολ. 575, δ'), καὶ ἀντιστρόφως δὲν ὑπάρχει ἔλλειψις, ἑπομένου τοῦ *«εἰ δὲ μή»*, ὡς *«εἰὰν μὲν εὕρωμεν, κάλλιστα ἕξει, εἰ δὲ μή, στέρξω ἀγὼ τῇ ἐμῇ τύχῃ»* (Πλάτ. Ἱππ. Μ. 295, δ') ὅρα καὶ Γραμμ. Κυννήρ. § 577, 3, c. — *ἢν δὲ μὴ*] δηλ. *ἐσακούωσί τι.—καὶ δύο καὶ τριῶν*] = δύο ἢ τριῶν, πρβλ. *«καὶ δὶς καὶ τρὶς πίνειν»* (Πλάτ. Φαιδρ. 63, ε'), ἀλλαχοῦ δὲ παρὰ Θουκυδ. *«καὶ δὶς ἢ τρὶς»* (Ε', 10, 9) καὶ *«δὶς ἢ τρὶς»* (Β', 4, 2. Δ', 38, 3).—*ἢν δοκῇ*] ἔδει νὰ ὑπάρχῃ μετὰ τὸ *πεφραγμένοι*, συναπτέον δὲ τῷ *«ἴμεν ἐπ' αὐτούς»* = ἂν δοκῇ ἰέναι ἐπ' αὐτούς.—*πεφραγμένοι*] = ὡχυρωμένοι, παρεσκευασμένοι εἰς πόλεμον, ὡπλισμένοι (Σχολ.). — *ἴμεν*] μέλλων τοῦ *ἔρχομαι* = πορευσόμεθα (Σχολ.).

§ 3. *ὁρῶντες*]=εἰ ὁρῷεν.—*ἤδη τήν τε παρασκευὴν*] = τήν τε ἤδη παρασκευήν (πρβλ. Α', 137, 4).—*αὐτῇ ὁμοῖα*] = σύμφωνα τῇ παρασκευῇ, εἶναι δὲ αὐτοτιχον ἀντικείμ. τοῦ *ὑποσημαίνοντας* = ὑποδηλοῦντας, ὑποδεικνύοντας (πρβλ. Ϛ', 32, 1). —*μᾶλλον*] δηλ. *ἢ εἰ μὴ ὁρῷεν ἡμῶν τὴν παρασκευὴν καὶ τοὺς λόγους ὁμοῖα ὑποσημαίνοντας.—ἄτμητον*] *ἀδήωτον* (Σχλ.). —*ἔχοντες... βουλευόμενοι*] = ἐπεὶ ἔχουσι ... βουλεύονται.

§ 4. *ὅμηρον*]=*ἐνέχυρον τὸ ὑπὲρ εἰρήνης παρεχόμενον* (Σχολ.)=μὴ νομίσητε ὅτι ὑμεῖς τὴν γῆν αὐτῶν ἄλλως ἢ ἀντὶ ἐνεχύρου ἔχετε, πρβλ. non omnia concremari tecta, ut... pignus ad flectendos hostium animos haberent (Liv. V, 42, 2). Τὸ ἀπρέμφ. τοῦ ἐνεστῶτος μετὰ τὸ *νομίζω* περιέχει ἔννοιαν μέλλοντος (ὅρα 93, 3).—*καὶ οὐχ ἧσσον*]=καὶ τοσούτῳ μᾶλλον. Περὶ τοῦ ὅσῳ ἄγευ τοῦ *τοσούτῳ* τιθεμένου ὅρα Ε', 108, Ϛ', 89, 6, περὶ δὲ τοῦ πράγματος Β', 11, 6. 65, 2.—*ἐξείργασται*] μετὰ παθητ. διαθέσ.=ἐξειργασμένη ἐστὶν ἡ γῆ. Περὶ τοῦ μεγάλου πλήθους τῶν Ἀθηναίων, οἵτινες ζῶντες ἐν τοῖς ἀγροῖς ἠσχολοῦντο περὶ τὴν καλλιεργίαν αὐτῶν, ὅρα Β', 14 καὶ 16.—*ὡς ἐπὶ πλεῖστον*] = ἐπὶ πλεῖστον χρόνον ὡς δυνατὸν (πρβλ. Α', 2, 5. 18, 1).—*εἰς ἀπόνοιαν καταστήσαντας αὐτούς*]= εἰς ἀπόγνωσιν ποιήσαντες αὐτοὺς ἐλθεῖν *διὰ τοῦ τεμεῖν αὐτῶν τὴν γῆν* (Σχολ.). — *ἀληπτοτέρους*] ὅρα σημ. Α', 37, 5=ἧσσον ἁλωτούς, ὑποχειρίους. Ὁ δὲ δεύτερος ὅρος τῆς συγκρίσ.=*ἢ ἐὰν καταστήσωσιν αὐτοὺς εἰς ἀπόγνωσιν.*

5. *εἰ γὰρ*] Ὁ Ἑρυσιβόην εἰκάζει νὰ γραφῇ *«εἰ δέ».—ἐπειχθέντες*] πρβλ. Α', 78, 1 = πρὸς τὸ ἀπεῦσαι παρορμηθέντες. Ὁ δὲ Κόβητος ἀντ' αὐτοῦ γράφει *«ἐπαρθέντες»* (πρβλ. Α', 83, 3. 84, 2), ἣν εἰκασίαν ὁ Ἑρυσιβόην λέγει ἀνωφελῆ. — *ὅπως μὴ*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σχιον καὶ ἀπορώτερον τῇ Πελοποννήσῳ πράξομεν. Ἐγκλήματα μὲν γὰρ καὶ πόλεων καὶ ἰδιωτῶν οἷόν τε καταλῦσαι· πόλεμον δὲ ξύμπαντας ἀραμένους ἕνεκα τῶν ἰδίων, ὃν οὐχ ὑπάρχει εἰδέναι καθ' ὅ τι χωρήσει, οὐ ῥᾴδιον εὐπρεπῶς θέσθαι.

83. « Καὶ ἀνανδρία μηδενὶ πολλοὺς μιᾷ πόλει μὴ ταχὺ ἐπελθεῖν δοκείτω εἶναι. Εἰσὶ γὰρ καὶ ἐκείνοις οὐκ ἐλάσσους χρήματα φέροντες ξύμμαχοι, καὶ ἔστιν ὁ πόλεμος οὐχ ὅπλων τὸ πλέον, ἀλλὰ δαπάνης, δι' ἣν τὰ ὅπλα ὠφελεῖ,

αἴσχιον καὶ ἀπορώτερον τῇ Πελ. πράξομεν] ὁ Πόρτος, Κρυγῆρος καὶ ἄλλοι δέχονται τὸ *πράττειν* μεταβατ., τὸ δὲ *αἴσχιον* καὶ *ἀπορώτερον* ἀντικείμενον=ὅπως μὴ πράξομεν τῇ Πελοποννήσῳ κατάστασιν αἰσχίονα καὶ ἀθλιωτέραν (ἀμηχανωτέραν) ἢ τῇ Ἀττικῇ ἢ (κατὰ Βονίτζιον) «ἢ νῦν», πρβλ. «*ἡδονὴν δ' ἐχθροῖς ἐμοῖς πράξωμεν*» (Αἰσχύλ. Ἱκ. 1008) καὶ «*πράττων κάθοδον αὐτῷ μετὰ τῶν φίλων*» (Πλούταρχ. Κικέρ. ΑΓ'). Ὁ δὲ Κλασσήνιος δέχεται τὸ *πράττειν* ἀμεταβ., τὸ δὲ *αἴσχιον* καὶ *ἀπορώτερον* ἐπιρρημ., τὴν δὲ δοτικὴν *Πελοποννήσῳ* ὡς δοτικὴν τῆς ἀναφορᾶς, πρβλ. «*Μαρδόνιον φλαύρως πρήξαντα τῷ στόλῳ*» (Ἡροδ. Ϛ', 94)=ὅπως μὴ ὅσον ἀφορᾷ τὴν Πελοπόννησον αἰσχρότερον αὐτοὶ καὶ ἐλεεινότερον ζήσωμεν (ἢ οἱ Ἀθηναῖοι), πρβλ. Ϛ', 13, 2. 75, 3. Ζ', 67, 4. 71, 1. Η', 95, 6. Τὸ δὲ «*πράξομεν*» κατὰ τὸν Λαυρεντιανὸν κώδικα καὶ Βεκκ. Ἀνέκδ. σ. 162, τῶν ἄλλων ἐχόντων «*πράξωμεν*».

§ 6. *ἕνεκα τῶν ἰδίων*] «*οὐ γὰρ ἦν κοινὰ τὰ ἐγκλήματα πάντων τῶν Πελοποννησίων, ἀλλὰ μόνον τῶν Κορινθίων*» (Σχολ.) καὶ ἄλλων τινῶν (πρβλ. Α', 67, 4), πρβλ. «*φοβοῦμαι μὴ πάντες περὶ τῶν ἰδίων ἕκαστος ὀργιζόμενος κοινὸν ἐφ' ἡμᾶς ἀγάγωσι τὸν πόλεμον*» (Δημ. 5, 19). — *ὅτ*ι] κατὰ πρόληψιν ἐτέθη ὡς ἀντικείμ. ἀντὶ ὑποκειμ. τοῦ *χωρήσει* (πρβλ. Α', 72, 1).—*ὑπάρχει*] ἀπροσώπ. = ἔστι δυνατόν. — *καθ' ὅ,τι*]= κατὰ τίνα τρόπον, πῶς.—*χωρήσει*] ὁ ἐνεργ. μέλλων παρ' Ἀττικοῖς πεζολόγοις μόνον ἐνταῦθα φέρεται (ὅρα Γ. Ζηκίδ. Λεξ. Ἀττ. Ῥημ. σ. 556), ἀντ' αὐτοῦ δὲ συνηθέστερος ὁ μέσ. μέλλων *χωρήσομαι*, φέρεται δ' ὁ ἐνεργ. καὶ παρ' ἄλλοις (Ἰλ. Π. 629. Ἡροδ. Ε', 89. Η', 68 καὶ μτγ.), πρβλ. δὲ καὶ *ξυγχωρήσω* (Α', 140, 5), *προσχωρήσω* (Β', 2, 4. 79, 2. Γ', 94, 5. Δ', 66, 4), *ἀναχωρήσω* (Ζ', 72, 4), *προχωρήσω* (Γ', 4, 5), ὅθεν οὐχὶ ὀρθῶς μετέβαλεν ὁ Ἐρουερδὴν τὸν ἐνεργ. μέλλ. εἰς μέσ. *χωρήσεται*=πῶς θὰ ἀποβῇ, θὰ ὑπάγῃ. — *εὐπρεπῶς*]=ἀξιοπρεπῶς, — *θέσθαι*]=καταθέσθαι (Α', 121, 1), *ἀποθέσθαι*, *καταλῦσαι* (Σχολ.) καὶ λατιν. «ponere bellum» (πρβλ. Α', 31, 3. Η', 84, 5) καὶ περὶ τῆς ἐννοίας ὅρα Sall. Iug. 83.

Κεφ. 83. *Πρὸ παντὸς ἄλλου ὀφείλομεν καὶ φροντίσωμεν περὶ χρημάτων.*

§ 1. *Καὶ ἀνανδρία . . εἶναι*] = καὶ μηδενὶ δοκείτω εἶναι ἀνανδρία (τὸ) μὴ ταχὺ ἐπελθεῖν πολλοὺς μιᾷ πόλει. — *ταχὺ*] ὡς ἐπίρρημα ἀπαντᾷ δεκάκις παρὰ Θουκυδ., ἅπαξ δὲ τὸ *ταχέως*, συχνότερον δ' αἱ περιφράσεις *διὰ ταχέων*, *διὰ τάχους*, *ἐν τάχει* καὶ *κατὰ τάχος*.

§ 2. *καὶ ἐκείνοις*] δηλ. τοῖς Ἀθηναίοις, ὁ δὲ *καὶ*=ὡς καὶ ἡμῖν καὶ Ἀθηναίοις. —*οὐκ ἐλάσσους*] δηλ. ἢ ἡμῖν. — *χρήματα φέροντες*] δὲν ἐμπεριλαμβάνεται ἐν τῇ συγκρίσει τῇ διὰ τοῦ *ἐλάσσους* δηλουμένῃ, διότι οἱ τῶν Λακεδαιμονίων σύμμαχοι δὲν ἔφερον χρήματα (πρβλ. Α', 19), ἀλλ' εἶναι τοῦτο νέα περίπτωσις εὐνοϊκὴ ὑπὲρ τῶν Ἀθηναίων=καὶ οὗτοι φόρους ἀποτίνοντες (πρβλ. Α', 19), καὶ ταῦτα χρήματα φέροντες.—*οὐχ ὅπλων τὸ πλέον ἀλλὰ δαπάνης*] ἀντὶ τοῦ ἢ ἐτέθη ὁ *ἀλλὰ* ἕνεκα τοῦ προηγουμένου *οὐ* (ὅρα Β', 43, 2. 44, 4), ἀντὶ δὲ τοῦ *ἀλλὰ* τίθεται καὶ τὸ ἢ μετὰ τὸ οὐ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἄλλως τε καὶ ἠπειρώταις πρὸς θαλασσίους. Πορισώμεθα οὖν πρῶτον αὐτήν, καὶ μὴ τοῖς τῶν ξυμμάχων λόγοις πρότερον ἐπαιρώμεθα, οἵπερ δὲ καὶ τῶν ἀποβαινόντων τὸ πλέον ἐπ' ἀμφότερα τῆς αἰτίας ἕξομεν, οὗτοι καὶ καθ' ἡσυχίαν τι αὐτῶν προίδωμεν. 3

84. « Καὶ τὸ βραδὺ καὶ μέλλον, ὃ μέμφονται μάλιστα ἡμῶν, μὴ αἰσχύνεσθε. Σπεύδοντές τε γὰρ σχολαίτερον ἂν παύσαισθε διὰ τὸ ἀπαράσκευοι ἐγχειρεῖν, καὶ ἅμα ἐλευθέραν καὶ εὐδοξοτάτην πόλιν διὰ παντὸς νεμόμεθα. 1

(Β', 37,1.39,1), πρβλ. καὶ «non potius sed» (Cicer. de Or. II, 78,317).—*ὅπλων . . δαπάνης*] γενικαὶ κτητικαὶ λεγόμεναι κατηγορηματικαὶ (ὅρα Γ.Ζηκίδ.Συντ. § 27, 1)= ἔργον ὅπλων . . δαπάνης = ἐξαρτᾶται ἐκ τῶν ὅπλων . . τῆς δαπάνης. Σφάλλεται δ' ὁ Κροάζετος νομίζων αὐτὰς γενικὰς τῆς αἰτίας ἢ τοῦ ὀργάνου.—*δι' ἣν*] ἡ *διὰ* μετ' αἰτιατ.=*τῇ διὰ* μετὰ γενικῆς (ὅραΓ', 13, 5.39,8.Ζ', 68, 3), πρβλ. «*ἆρά τις . . θεωρεῖ τὸν τρόπον δι' ὃν μέγας γέγονεν ἀσθεν�ὴς ὢν τὸ κατ' ἀρχὰς Φίλιππος*» (Δημ. 1, 12); "Ανευ δὲ χρημάτων τὰ ὅπλα οὐδὲν ὠφελοῦσιν οὐδὲ παρασκευάζεται πόλεμος.—*ἄλλως τε καὶ ἠπειρώταις*]=ἄλλως τε καὶ (ὧν δηλ. ὁ πόλεμος) ἠπειρώταις. Σπανίως δὲ τὸ «*ἄλλως τε καί*» τίθεται ἄνευ μετοχῆς, ὡς «*πολλὰ γὰρ ἂν τις ἔχοι, ἄλλως τε καὶ ῥήτωρ, εἰπεῖν ὑπὲρ τούτου τοῦ νόμου ἀπολλυμένου*» (Πλάτ. Κρίτ. 50, ε'), κακῶς δὲ ὁ Κροάζετος λέγει ὅτι μετὰ τὸ *ὠφελεῖ* περιέμενέ τις μᾶλλον τὸ ἠπειρώτας καὶ ὅτι ἡ δοτικὴ εἶναι δοτικὴ τῆς ἀναφορᾶς· διότι ταῦτα ἀποδίδονται οὐχὶ τῷ *ὠφελεῖ*, ἀλλὰ τῷ *ἔστιν ὁ πόλεμος*.

§ 3. *αὐτὴν*] δηλ. τὴν δαπάνην, τὰ μέσα τῆς δαπάνης, πρβλ. *σωτηρία* (=μέσον σωτηρίας. Α', 52, 2). —*ἐπαιρώμεθα*] ὅρα Α',42,2.— *οἵπερ δὲ*]= ἀλλ' ἡμεῖς οἵπερ. —*τῶν ἀποβαινόντων ἐπ' ἀμφότερα*] τῆς ἐκβάσεως τοῦ πολέμου τῆς εὐτυχοῦς ἢ δυστυχοῦς, τῆς εἰς νίκην ἢ ἥτταν ἀποβησομένης, πρβλ. «*μεγίστην δόξαν οἰσόμενοι τοῖς τε προγόνοις καὶ ἡμῖν αὐτοῖς ἐπ' ἀμφότερα ἐκ τῶν ἀποβαινόντων*» (Β', 11, 9), πρβλ. καὶ Δ', 17,4. Συναπτέον τὰς λέξεις ὧδε· «*τὸ πλέον τῆς αἰτίας τῶν ἀποβαινόντων ἐπ' ἀμφότερα ἕξομεν*»=τὸ μεῖζον βάρος (τὴν μείζονα εὐθύνην) τῆς αἰτίας ἕνεκα τῆς ἐπ' ἀμφότερα ἐκβάσεως τοῦ πολέμου θὰ ἔχωμεν ἡμεῖς οἱ Λακεδαιμόνιοι, θὰ νομιζώμεθα πρωταίτιοι —*τί αὐτῶν*]= ἕκαστόν τι αὐτῶν (τῶν ἀποβαινόντων), πρβλ. Α', 40, 5. Ἀλλ' ὁ Βάδαμος γράφει «*τὰ αὐτῶν*»=τὰ ἡμῶν αὐτῶν (πρβλ. Α', 82, 1).

Κεφ. 84. *Ἡ βραδύτης ἡμῶν, ἐφ' ᾗ ψεγόμεθα, ὑπῆρξε σωτήριος· καὶ τοῦ λοιποῦ ταύτην ἔχοντες θὰ ὦμεν ἀσφαλεῖς, ἐὰν μὴ ὁρῶμεν τοὺς ἐχθροὺς ἡμῶν ἀδυνάτους.*

§ 1. *τὸ βραδὺ καὶ μέλλον*]=ἡ βραδύτης καὶ ἡ ἀναβολή· ὅρα σημ. Α', 36,1.— *ὃ μέμφονται*] πρβλ. Α',69,4.70,2.—*ἡμῶν*] γενικὴ κτητικὴ τοῦ *ὃ*, πρβλ. «*ὃ θαυμάζω τοῦ ἑταίρου*» (Πλάτ. Θεαίτ. 161, δ') καὶ «*τάδ' αὐτοῦ ἄγαμαι*» (Ξεν. Ἀγησ. δ', 7) καὶ «*τοῦτο ἐπαινῶ Ἀγησιλάου*» (αὐτ. η', 4).—*μὴ αἰσχύνεσθε*] αἰτιατικῇ συντάσσεται καὶ Γ', 14, 1, πρβλ. καὶ «*φρονεῖν γὰρ οἱ ταχεῖς οὐκ ἀσφαλεῖς*» (Σοφ. Οἰδ. Τ. 617).—*σχολαίτερον ἂν παύσαισθε*] εἶναι ὁ πρῶτος λόγος, δι' ὃν ὀφείλουσι νὰ μὴ αἰσχύνωνται διὰ τὴν βραδύτητα καὶ μέλλησιν αὐτῶν = βραδύτερον παύσαισθε ἂν πολεμοῦντες· διότι οἱ παρεσκευασμένοι περατοῦσι ταχέως τὸν πόλεμον διὰ κρισίμων μαχῶν.—*καὶ ἅμα ἐλευθέραν*] περιέχει τὸν δεύτερον λόγον, ὅτι διὰ τὴν βραδύτητα ταύτην, προερχομένην ἐξ ἐμφρονος σωφροσύνης, κατοικοῦσι πόλιν ἐλευθέραν καὶ εὐ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Καὶ δύναται μάλιστα σωφροσύνη ἔμφρων τοῦτ' εἶναι· μόνοι γὰρ δι' αὐτὸ εὐπραγίαις τε οὐκ ἐξυβρίζομεν καὶ ξυμφοραῖς ἧσσον ἑτέρων εἴκομεν, τῶν τε ξὺν ἐπαίνῳ ἐξοτρυνόντων ἡμᾶς ἐπὶ τὰ δεινὰ παρὰ τὸ δοκοῦν ἡμῖν οὐκ ἐπαιρόμεθα ἡδονῇ, καὶ ἤν τις ἄρα ξὺν κατηγορίᾳ παροξύνῃ, οὐδὲν μᾶλλον ἀχθεσθέντες ἀνεπείσθημεν. Πολεμικοί τε καὶ εὔβουλοι διὰ τὸ εὔκοσμον γιγνόμεθα, τὸ μὲν ὅτι

δοξοτάτην. Πολλάκις συνδέεται θετικὸν μεθ' ὑπερθετικοῦ, ὡς «*κομψὸς καὶ λαλίστατος*» (Εὐρ. Κύκλ. 315) καὶ «*ἐπίβουλον καὶ δριμὺ καὶ ὑβριστότατον*» (Πλάτ. Νόμ. 808.δ'). πρβλ. καὶ Ξεν. Ἑλλ. Ε', γ', 17. Λυκοῦργ. 29.

§ 2. *δύναται . . εἶναι*] = ἔχει τὴν δύναμιν . . ὥστε εἶναι, ἰσοῦται πρὸς τὸ εἶναι, ἰσοδυναμεῖ, πρβλ. «*δύναται τὸ τεοδαμῶδες ἐλεύθερον ἤδη εἶναι*» (Ζ', 58,3), πρβλ. καὶ Α', 141,1.Γ', 46,2.Δ', 25,1.Ϛ', 36,2. 40,2. Ὑποκείμενον τοῦ δύναται εἶναι τὸ *τοῦτο*, τὸ δὲ *σωφροσύνη* κατηγορούμενον. — *σωφροσύνη*] = μετριότης, μετριοφροσύνη. αὕτη δὲ καὶ ἀλλαχοῦ ἀποδίδοται τοῖς Λακεδαιμονίοις (Α', 68, 1.Η', 24, 4). — *ἔμφρων*] νομίζεται λέξις ποιητική, ἀλλ' αὕτη ἀπαντᾷ καὶ παρὰ Πλάτωνι καὶ Ξενοφῶντι. — *τοῦτ' εἶναι*] ὁ Βάδαμος γράφει ἀντὶ τοῦ *τοῦτο* τὸ «*τούτων*» = τῶν ἐλευθέραν καὶ εὐδοξοτάτην πόλιν ἐχόντων. Τὸ *τοῦτο δ' ἔχει καλῶς* = τὸ *βραδὺ καὶ μέλλον* (Σχολ.). — *δι' αὐτὸ*] ὅηλ. τὸ *βραδὺ καὶ μέλλον*. — *εὐπραγίαις οὐκ ἐξυβρίζομεν*] οὐκ ἐπαιρόμεθα, οὐχὶ ὑβριστικῶς προσφερόμεθα ὑπὸ τῶν εὐτυχιῶν (πρβλ. Πλουταρχ. Ἀριστ. ΚϚ', 1), ὡς «*εἴ τις τῶν σατραπῶν ὑπὸ πλούτου καὶ πλήθους ἀνθρώπων ἐξυβρίσειε*» (Ξεν. Ἀναβ. Η', Ϛ', 1). — *ξυμφοραῖς . . εἴκομεν*] = ὑποκύπτομεν, περιπίπτομεν συμφοραῖς. — *τῶν . . ἐξοτρυνόντων*] γενικὴ ἐξ ὑποκειμένου (καὶ οὐχὶ τῆς αἰτίας, ὡς νομίζει ὁ Κρουάζετος) τοῦ *ἡδονῇ* = ἡδονή, ἣν παρέχουσιν οἱ . . ἐξοτρύνοντες ἡμᾶς (ὡς οἱ Κορίνθιοι), πρβλ. Γ', 58,5. — *ἐπὶ τὰ δεινὰ*] = εἰς τοὺς κινδύνους. — *παρὰ τὸ δοκοῦν ἡμῖν*] = παρὰ τὴν ἡμετέραν γνώμην. — *οὐκ ἐπαιρόμεθα ἡδονῇ*] = δὲν παρασυρόμεθα, δὲν παραπειθόμεθα ὑπὸ τῆς ἡδονῆς. — *καὶ ἤν τις ἄρα*] ἀναφέρεται εἰς τὸ Α', 69. καὶ 71, 3, ἔνθα οἱ Κορίνθιοι ψέγουσι τοὺς Λακεδαιμονίους ὡς ἀπρονοήτους καὶ μελλητάς. — *οὐδὲν μᾶλλον*] ὅηλ. *ἢ εἰ ἐπήγετο*. Συναπτέον δὲ τῷ *ἀνεπείσθημεν* καὶ οὐχί, ὡς ὁ Πόππος νομίζει, τῷ *ἀχθεσθέντες* (= διότι ἠχθέσθημεν). — *ἀνεπείσθημεν*] ἀόριστος γνωμικὸς ἢ ἐμπειρικὸς = συνήθως ἀναπειθόμεθα (πρβλ. Α', 70,7.Ε', 103,1), ἡ δ' ἀνὰ σῆμαίνει μεταβολὴν = μεταπείθομαι (πρβλ. Α', 140, 1.Β', 65, 2).

§ 3. *Πολεμικοί τε*] ὁ τὲ ὃεν ἀναφέρεται εἰς τὸν ἑπόμενον *καί*, ἀλλὰ συνδέει τὰ ἑπόμενα τοῖς ἡγουμένοις. *Πολεμικὸς δὲ* = ὁ ἔχων πολιτικὴν ἱκανότητα (πρβλ. Ξεν. Ἀν. Β', Ϛ', 1). — *διὰ τὸ εὔκοσμον*] = διὰ τὸ σῶφρον, τὴν σωφροσύνην, πρβλ. καὶ Σχολ. «*καὶ τὴν σωφροσύνην καὶ τὴν εὐκοσμίαν ὁμοίως τέθεικεν*. — *τὸ μὲν*] = πολεμικὸν μέν. — *αἰδῶς . . αἰσχύνης*] πρβλ. Σχολ. «*τὴν αἰδῶ καὶ τὴν αἰσχύνην κατὰ ταὐτοῦ τίθησι συνωνύμως*». *Αἰδὼς δὲ καὶ αἰσχύνη ἐνταῦθα* = τὸ αἰσθημα τῆς τιμῆς καὶ ἡ ἀποφυγὴ τοῦ ὀνείδους (τοῦ τρέπεσθαι εἰς φυγὴν ἐν πολέμῳ), ὅπερ ποιεῖ τοὺς καλοὺς στρατιώτας, πρβλ. καὶ «*ὦ φίλοι, ἀνέρες ἐστέ, καὶ αἰδῶ θέσθ' ἐνὶ θυμῷ, ἀλλήλους τ' αἰδεῖσθε κατὰ κρατερὰς ὑσμίνας· αἰδομένων δ' ἀνδρῶν πλέονες σόοι ἠὲ πέφανται φευγόντων δ' οὔτ' ἄρ κλέος ὄρνυται οὔτε τις ἀλκή*» (Ἰλ. Ο, 561—564, πρβλ. καὶ Ε', 529—532) = ἡ αἰδὼς παιδεύει εὐκόσμους, οἱ δ' αἰδήμονες γίνονται εὔψυχοι καὶ πολεμικοί. — *πλεῖστον μετέχει*

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

αἰδῶς σωφρασύνης πλεῖστον μετέχει, αἰσχύνης δὲ εὐψυχία, εὔβουλοι δὲ ἀμαθέστερον τῶν νόμων τῆς ὑπεροψίας παιδευόμενοι καὶ ξὺν χαλεπότητι σωφρονέστερον ἢ ὥστε αὐτῶν ἀνηκουστεῖν, καὶ μὴ τὰ ἀχρεῖα ξυνετοὶ ἄγαν ὄντες, τὰς τῶν πολεμίων παρασκευὰς λόγῳ καλῶς μεμφόμενοι ἀνομοίως ἔργῳ ἐπεξιέναι, νομίζειν δὲ τάς τε διανοίας τῶν πέλας παραπλησίους εἶναι καὶ τὰς προσπιπτούσας τύχας οὐ λόγῳ διαιρετάς. Αἰεὶ δὲ ὡς πρὸς εὖ βουλευομένους τοὺς 4
ἐναντίους ἔργῳ παρασκευαζώμεθα· καὶ οὐκ ἐξ ἐκείνων ὡς ἁμαρτησομένων ἔχειν

πρβλ. Γ', 83, 1. Ϛ', 40, 1.—*αἰσχύνης δ' εὐψυχία*] πρβλ. «*τὴν ἀνδρίαν δέ μοι δοκοῦσιν οὐκ ἀφροβίαν ἀλλὰ φόβον φόβου καὶ δέος ἀδοξίας οἱ παλαιοὶ νομίζειν*» (Πλούτ. Κλεομ. Θ'), πρβλ. καὶ Σοφ. Αἴ. 1075 κ. ἑ.—*ἁμαθέστερον τῶν νόμων τῆς ὑπεροψίας*]=ὅτι ἁμαθέστερον παιδευόμεθα ἢ ὥστε νόμους ὑπερορᾶν. Πρβλ. Σχολ. «*ὁ μὴ εἰδώς τι κακὸν ποιῆσαι ἀμαθῶς αὐτοῦ ἔχει· ἡμεῖς οὖν, φησί, παιδευόμεθα ἀμαθῶς ἔχειν τοῦ καταφρονεῖν τῶν νόμων, τοῦτ' ἔστιν οὐ παιδευόμεθα ὥστε ὑπερορᾶν τῶν νόμων*» ὅρα καὶ Γ', 37, 4. —*ξὺν χαλεπότητι σωφρονέστερον*]=σὺν αὐστηρότητι. Ἐννοεῖται δὲ ἡ μετοχ. *παιδευόμενοι*=καὶ ὅτι διὰ τὸ χαλεπῶς (αὐστηρῶς) παιδεύεσθαι παιδευόμεθα σωφρονέστερον ἢ. Πρβλ. Σχολ. «*οἱ γὰρ Λακεδαιμόνιοι βαρυτάτην εἶχον ἀγωγήν, χαλεπῶς ζημιούμενοι καὶ σωφρονιζόμενοι. Ἦν γὰρ Λακεδαίμονί ἔφοροί τινες ἦσαν, οἵ εἴ τινα ἴδοιεν ἀργοῦντα, τοῦτον ἔτυπτον, λέγοντες ὅτι ὁ ἀργῶν καὶ τῶν νόμων σπεύδει καταφρονεῖν*». —*ἀνηκουστεῖν*]=ἀπειθεῖν. Μόνον ἐνταῦθα ἀπαντᾷ παρὰ τοῖς Ἀττ. πεζολόγοις τὸ ῥῆμα, ὅπερ ποιητικὸν ὂν παρὰ τοῦ Αἰσχύλου (Προμηθ. 40) καὶ τοῦ Ἡροδότου (Ϛ', 14. Ζ', 17) παρέλαβεν ὁ Θουκυδίδης.—*αὐτῶν*]*δηλ. τῶν νόμων.*—*καὶ μὴ*]=καὶ παιδευόμενοι ὥστε μὴ . . ἐπεξιέναι. Τὸ *μὴ* συναπτέον τῷ *ἐπεξιέναι.*—*τὰ ἀχρεῖα*]=τὴν ῥητορικὴν (artem dicendi)· «*τὰ σοφίσματα τῶν λόγων· οἱ γὰρ Λάκωνες βραχυλόγοι*» (Σχολ.). Ἐννοεῖ ἐνταῦθα τοὺς δημηγορήσαντας Κορινθίους μᾶλλον ἢ τοὺς Ἀθηναίους.—*ὄντες*] αἰτιολογικὴ μετοχή· τοῦ *μεμφόμενοι.*—*ἐπεξιέναι*] ὁ Κρυγῆρος καὶ ὁ Κλασσήνιας συνδέουσιν αὐτὰ τῷ *ἔργῳ* (Α', 120. 5. Ε', 9, 10) καὶ ἐκλαμβάνουσιν αὐτὸ ἀπολύτως=ἐναντίον ὁρμᾶσθαι. Ὁ δὲ Πόππος πρωτιμᾷ νὰ ἐννοηθῇ τὸ «*αὐτοῖς*» (τοῖς πολεμίοις), ὅτε θὰ εἶναι=ἐναντίον τῶν πολεμίων πορεύεσθαι, ἔφοδον ποιεῖσθαι κατ' αὐτῶν.—*νομίζειν δὲ*]=παιδευόμενοι δὲ ὥστε νομίζειν.—*διανοίας*]=τὰ διανοήματα. —*παραπλησίους*] ὅηλ. *ταῖς ἡμετέραις*=ὁμοίας ταῖς ἡμετέραις (καὶ οὐχὶ χείρους), πρβλ. «*ἴσως γὰρ πάντες ποικίλ' ἐπιστάμεθα*» (Θεόγν. 658). Μόνον δ' ἐνταῦθα τὸ ἐπίθετον δικατάληκτον, ἀλλαχοῦ δὲ τρικατάληκτον (Γ', 17, Γ. 89, 3 Ζ', 70, 1). —*τὰς προσπιπτούσας τύχας*]=*τὰς ἀποβάσεις* (Σχολ.)=τὰς συμβαινούσας μεταβολὰς τῆς τύχης. —*οὐ λόγῳ διαιρετάς*]= οὐ λόγῳ ἐξηγησίμους=δὲν δύνανται νὰ ἑρμηνευθῶσιν (ὁριαθῶσι) διὰ τοῦ λόγου (διὰ τῆς σκέψεως), ἐὰν θὰ ὦσιν εὐνοϊκαὶ ἢ τοὐναντίον (πρβλ. Ε', 62, 2. Ἡροδ. Β', 6. Ζ', 17. 47, 50. 103). Ἀναφέρεται εἰς τὸ Α', 69, 5.

§ 4. *ὡς πρὸς εὖ βουλευομένους τοὺς ἐναντίους*]=πρὸς τοὺς ἐναντίους ὡς εὖ βουλευομένους.—*ἔργῳ*]=*ἐμπράκτως* (Σχολ.). *παρασκευαζώμεθα*] ὁ δὲ Λαυρεντιανὸς κῶδιξ «*παρασκευαζόμεθα*», ἀλλ' ὁ Βάθαμος ὀβελίζων τὸ διττὸν δεῖ γράφειν ἀντὶ τοῦ «*παρασκευαζώμεθα· καὶ*» τὸ «*παρασκευαζόμενοι*», ἣν εἰκασίαν ὁ Ἐρουερδὴν νομίζει οὐχὶ κακήν.—*καὶ οὐκ . . . ἐλπίδας*] =καὶ δὲν πρέπει νὰ ἔχωμεν τὰς ἐλπίδας

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

δεῖ τὰς ἐλπίδας, ἀλλ' ὡς ἡμῶν αὐτῶν ἀσφαλῶς προνοουμένων, πολύ τε διαφέρειν οὐ δεῖ νομίζειν ἄνθρωπον ἀνθρώπου, κράτιστον δὲ εἶναι ὅστις ἐν τοῖς ἀναγκαιοτάτοις παιδεύεται.

85. «Ταύτας οὖν ἃς οἱ πατέρες τε ἡμῖν παρέδοσαν μελέτας καὶ αὐτοὶ διὰ παντὸς ὠφελούμενοι ἔχομεν μὴ παρῶμεν, μηδ' ἐπειχθέντες ἐν βραχεῖ μορίῳ ἡμέρας περὶ πολλῶν σωμάτων καὶ χρημάτων καὶ πόλεων καὶ δόξης βουλεύσωμεν, ἀλλὰ καθ' ἡσυχίαν. Ἔξεστι δ' ἡμῖν μᾶλλον ἑτέρων διὰ ἰσχύν. Καὶ πρὸς τοὺς Ἀθηναίους πέμπετε μὲν περὶ τῆς Ποτειδαίας, πέμπετε δὲ περὶ ὧν

εἰς τὰ μέλλοντα ἁμαρτήματα ἐκείνων. Ἀνασκευάζει διὰ τούτων τοὺς λόγους τῶν Κορινθίων (Α', 69, 5) «ἐπιστάμενοι.. περιγεγενημένους».—ἀλλ' ὡς ἡμῶν αὐτῶν .. προνουμένων] = ἀλλ' ἐξ ἡμῶν αὐτῶν ἔχειν δεῖ τὰς ἐλπίδας ὡς ἡμῶν αὐτῶν προνουμένων = ἀλλὰ πρέπει νὰ ἔχωμεν τὰς ἐλπίδας εἰς τὴν ἀσφαλῆ ἡμῶν πρόνοιαν. Τὸ *προνοοῦμαι* (μέσ. ὠφελείας) κεῖται ἀπολύτως, ἠδύνατο δὲ ἀντὶ τοῦ *ἀσφαλῶς* νὰ εἴπῃ «τοῦ ἀσφαλοῦς» ἢ «ὑπὲρ τοῦ ἀσφαλοῦς».—ἀσφαλῶς] κεῖται προληπτικῶς = ὥστε εἶναι ἀσφαλεῖς. Δύναται δὲ νὰ ἑρμηνευθῇ καὶ διὰ τοῦ προνοητικῶς, προσεκτικῶς, πρβλ. καὶ «ἐλέγοσθε ἀσφαλῶς εἶναι» (Α', 69, 5 καὶ σημ. αὐτ.).—διαφέρειν] δηλ. φύσει διαφέρειν.—ἄνθρωπον ἀνθρώπου] περὶ τῆς κατὰ διαφόρους πτώσεις ἐπαναλήψεως τοῦ αὐτοῦ ὀνόματος πρβλ. «ἰδιώτην ἰδιώτῃ καταλλαγῆναι καὶ πόλιν πόλει» (Δ', 61, 2.πρβλ. καὶ 64, 3.Ϛ', 11, 3.Ζ', 63, 1. 70, 3). — ἐν τοῖς ἀναγκαιοτάτοις] τοῦτο ἑρμηνεύεται ποικίλως=ἐν τοῖς ἀπολύτως ἀναγκαίοις, δηλ. τῇ ὁπλασκίᾳ καὶ τῇ πειθαρχίᾳ, οἷς ἀντίκεινται τὰ ἀχρεῖα (§ 3) (Βοίμιος), ἐν τοῖς μόλις ἐπαρκέσι πράγμασι (Ἔρψιος καὶ Βονίτζιος), ἐν τοῖς ἐπικινδυνοτάτοις (Σχολ.), ἐν τοῖς μεγίστοις δεινοῖς (Κρυγῆρος), ἐν τῷ σχολείῳ τῆς ἀνάγκης, δηλ. τοῦ πολέμου καὶ τῶν κινδύνων (ἄλλοι), ἐν τῇ αὐστηροτάτῃ ἀνάγκῃ (Πόππος καὶ Κλασσήνιος), δι' ἧς ἐννοοῦνται οἱ αὐστηροὶ νόμοι τῆς δημοσίας ἀνατροφῆς. Μετὰ τῆς αὐτῆς ἐννοίας εἶπεν ἀνωτέρω «ξὺν χαλεπότητι παιδευόμενοι» (§ 3) καὶ «ἐπίπονος ἄσκησις» (Β', 39, 1). Τὸ δ' *ἀναγκαῖος* ἐνταῦθα ἔχει ἐνεργ. σημασίαν (=ἀναγκάζων, κατεπείγων, ἄφευκτος), πρβλ. Ε', 99 καὶ 105, 2.

Κεφ. 85. *Λύσατε τὰς πρὸς Ἀθηναίους διαφορὰς εἰρηνικῶς, ἅμα δὲ παρασκευάζεσθε εἰς πόλεμον.*

§ 1. *μελέτας*] ἐλλείπει τὸ ἄρθρον, διότι μετετέθη εἰς τὴν ἀναφορικὴν πρότασιν, *ὡς πάντες οὗτοι οὓς ὁρᾶτε βάρβαροι* (Ξεν. Ἀν. Α', ε', 16)· «ὕλην ταύτην ἣν λέγεις κοινωνίαν» (Πλάτ. Πολ. 449, ε'). —*ὠφελούμενοι*] τροπικὴ μετοχὴ=μετ' ὠφελείας ἡμετέρας. — *ἔχομεν*] δηλ. *ἃς μελέτας*.—*μὴ παρῶμεν*] τὸ *παρίημί τι*=ἐῶ τι παριέναι, παρατρέχειν, διαφεύγειν=παραμελῶ, παραιτοῦμαί τι. — *βουλεύσωμεν*] τὸ *βουλεύω* παρὰ Θουκυδίδῃ εἶναι συνώνυμον τοῦ *βουλεύομαι*, ἅπαξ δὲ μόνον=συμβουλεύειν (Γ', 42, 5), καὶ κατὰ μὲν ἐνεστῶτα=βουλεύομαι, κατὰ δὲ ἀόριστον=ἀποφασίζω.—*μᾶλλον ἑτέρων*]=μᾶλλον ἢ ἑτέροις (πρβλ. Β', 15, 1. 60, 7. Ϛ', 16, 1) ἔξεστιν ἡμῖν, δηλ. τοῦτο ποιεῖν (βουλεύειν). — *διὰ ἰσχύν*] *δι' ἣν ἔχομεν ἰσχύν· μή πως φθάσαντες ἀπολέσωμεν ταύτην δι' ἀβουλίαν* (Σχολ.).

§ 2. *πέμπετε μὲν . . πέμπετε δὲ*] σχῆμα ἐπαναφορᾶς (πρβλ. καὶ Α', 49, 1. 126, 12. Β', 8, 1. Ϛ', 88, 6. 104, 1. Ζ', 24, 2. 67, 2). Ἡ προστακτικὴ τοῦ ἐνεστῶτος σημαίνει ἀποστολὴν διαρκοῦσαν καὶ οὕπω τετελεσμένην πρὸ τῆς ἐκεῖσε ἀφίξεως (πρβλ. Α', 26, 1). — *οἱ ξύμμαχοι . . ἀδικεῖσθαι*] πρβλ. Α',

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οἱ ξύμμαχοί φασιν ἀδικεῖσθαι, ἄλλως τε καὶ ἑτοίμων ὄντων αὐτῶν δίκας δοῦναι· ἐπὶ δὲ τὸν διδόντα οὐ πρότερον νόμιμον ὡς ἐπ' ἀδικοῦντα ἰέναι. Παρασκευάζεσθε δὲ τὸν πόλεμον ἅμα. Ταῦτα γὰρ κράτιστα βουλεύσεσθε καὶ τοῖς ἐναντίοις φοβερώτατα».

Καὶ ὁ μὲν Ἀρχίδαμος τοιαῦτα εἶπεν. Παρελθὼν δὲ Σθενελάδας τελεύταῖος, εἷς τῶν ἐφόρων τότε ὤν, ἔλεξεν [ἐν τοῖς Λακεδαιμονίοις] ὧδε.

86. «Τοὺς μὲν λόγους τοὺς πολλοὺς τῶν Ἀθηναίων οὐ γιγνώσκω· ἐπαινέσαντες γὰρ πολλὰ ἑαυτοὺς οὐδαμοῦ ἀντεῖπον ὡς οὐκ ἀδικοῦσι τοὺς ἡμετέρους ξυμμάχους καὶ τὴν Πελοπόννησον· καίτοι εἰ πρὸς τοὺς Μήδους ἐγένοντο ἀγαθοὶ τότε, πρὸς δ' ἡμᾶς κακοὶ νῦν, διπλασίας ζημίας ἄξιοι εἰσίν, ὅτι ἀντ' ἀγαθῶν κακοὶ γεγένηνται. Ἡμεῖς δὲ τοιοίδε καὶ τότε καὶ νῦν ἐσμεν οἷοι καιροὺς σκέψεως περὶ τοῦ πράκτέου, ἀλλὰ δέον τὰ κηρύξωμεν τὸν πόλεμον ἀξίως τῆς Σπάρτης καὶ μὴ ἐάσωμεν τοὺς Ἀθηναίους τὰ γίγνωνται μείζονες.

§ 1. *Τοὺς μὲν λόγους τοὺς πολλοὺς*] ἡ τοῦ Σθενελάδου δημηγορία εἶναι κατ' Ἀθηναίων καὶ Ἀρχιδάμου. «Τὸ δὲ τῆς δημηγορίας σύντομον καὶ Λακωνικόν· διὰ τοῦτο προοίμια οὐκ ἔχει. Ταύτης τῆς δημηγορίας μέμνηται Πλούταρχος ἐν τοῖς *Πολιτικοῖς Παραγγέλμασι*» (6, 6) (Σχολ.). Εἶναι δὲ παράδειγμα ὄγκου καὶ μεγέθους ἡ λόγος πολιτικός (Πόππος). Ὁ μὲν ἀποδίδοται εἰς τὸν (ἐν § 2) δέ, ὁ Κρυγῆρος ὅμως νομίζει ὅτι ἡ ἐναντία ἔννοια λανθάνει ἐν τῷ ὑπονοουμένῳ «ὡς δὲ ἔργῳ ἠδίκησαν σαφές ἐστιν». Τὸ δὲ «τοὺς λόγους τοὺς πολλοὺς»=τοὺς μακροὺς λόγους, τὴν μακρηγορίαν τῶν Ἀθηναίων.—*οὐ γιγνώσκω*] =δὲν ἐννοῶ, δὲν καταλαμβάνω (πρβλ. Α', 126, 6. Β', 40, 2).—*ἐπαινέσαντες πολλὰ ἑαυτούς*] τὸ *πολλὰ* σύστοιχον ἀντικείμ. =πολλοὺς ἐπαίνους, πρβλ. «πολλὰ μὲν ὑπαινέσαντες Κῦρον, πολλὰ δὲ δεξιωσάμενοι ᾤχοντο οἴκαδε» (Ξεν. Παιδ. Γ', 6', 14) καὶ «ἐγὼ τὰ τοιαῦτα ἐπαινῶ Ἀγησίλαον» (Ξεν. Ἀγ. ι', 1) καὶ «ἃ ὕμνησα τὴν πόλιν» (Θουκ. Β', 42, 2).—*ἀντεῖπον ὡς οὐκ*] ὅρα Α', 77, 3.—*ἀδικοῦσι*] =ἠδικήκασιν. — *διπλασίας ζημίας*] =διπλασίας ποινῆς (τιμωρίας) ἄξιοί εἰσιν [ὅρα Γ', 67, 2),

67, ὁ δὲ *ἀδικεῖσθαι* = ἠδικῆσθαι, πρβλ. «μὴ σαφῶς διδάξαντα ὅ,τι ἀδικεῖται» (Ἀντιφῶν 4, δ', 9). — *δίκας δοῦναι*] ὅρα Α', 28, 2.—*ἐπὶ τὸν διδόντα*]=ἐπὶ τὸν βουλόμενον διδόναι (δίκας), πρβλ. Α', 33, 4.— *οὐ πρότερον*] δηλ. ἢ δοῦναι (Πόππος) ἢ πρὶν ἂν αἱ δίκαι δικασθῶσιν (Κλασσήνιος). Ὁ δὲ Ἐρυσερδὴν προτιμᾷ νὰ ὀβελισθῇ τὸ *πρότερον*. — *νόμιμον*] πρβλ. σημ. Α', 78, 4.—*παρασκευάζεσθε τὸν πόλεμον*] μέσον κτητικὸν = παρασκευάζετε ὑμῶν αὐτῶν τὸν πόλεμον = τὸν πόλεμον ὃν ὑμεῖς αὐτοὶ πολεμήσετε. Τοῦτο δὲ λέγεται καὶ σαφέστερον «παρήνει . . παρασκευάζεσθαι ἐς τὸν πόλεμον» (Β', 13, 2).— *καὶ κράτιστα . . φοβερώτατα*] εἶναι κατηγορούμενα τοῦ ταῦτα. Ὁ Ἐρυσερδὴν ὀβελίζει τὸ *καὶ* τὸ πρὸ τοῦ *κράτιστα*, ὅπερ ἐλλείπει καὶ ἐν τῷ Βατικανικῷ χειρογράφῳ.

§ 3. *Σθενελάδας*] καὶ οὐχὶ *Σθενελαΐδας* (ὅρα Stahl Quaes. Gramm. σ. 37).— *τῶν ἐφόρων*] πρβλ. Σχολ. «ἦσάν τινες παρὰ Λακεδαιμονίοις ἄρχοντες, τὸν ἀριθμὸν πέντε, οὓς ἐφόρους ἐκάλουν διὰ τὸ ἐφοράν τὰ τῆς πόλεως πράγματα». — *ἐν τοῖς Λακεδαιμονίοις*] ὠθέλισε τὰς λέξεις ταύτας ὁ Κρυγῆρος σχόλιον οὔσας, καθ' ὃν καὶ ἄλλοι· διότι δὲν ἦτο δυνατὸν τότε παρ' ἄλλοις νὰ ὁμιλήσῃ.

Κεφ. 86. *Δημηγορία Σθενελάδου. Ἐπειδὴ οἱ Ἀθηναῖοι ἠδίκησαν, δὲν εἶναι*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θῶν κακοὶ γεγένηνται. Ἡμεῖς δὲ ὁμοῖοι καὶ τότε καὶ νῦν ἐσμεν, καὶ τοὺς ξυμμάχους, ἢν σωφρονῶμεν, οὐ περιοψόμεθα ἀδικουμένους οὐδὲ μελλήσομεν τιμωρεῖν· οἱ γ' οὐκέτι μέλλουσι κακῶς πάσχειν. Ἀλλοῖς μὲν γὰρ χρήματά ἐστι πολλὰ καὶ νῆες καὶ ἵπποι, ἡμῖν δὲ ξύμμαχοι ἀγαθοί, οὓς οὐ παρακρουστέα τοῖς Ἀθηναίοις ἐστίν, οὐδὲ δίκαις καὶ λόγοις διακριτέα, μὴ λόγῳ καὶ αὐτοὺς βλαπτομένους, ἀλλὰ τιμωρητέα ἐν τάχει καὶ παντὶ σθένει. Καὶ ὡς ἡμᾶς πρέπει βουλεύεσθαι ἀδικουμένους, μηδεὶς διδασκέτω, ἀλλὰ τοὺς μέλλοντας ἀδικεῖν μᾶλλον πρέπει πολὺν χρόνον βουλεύεσθαι. Ψηφίζεσθε οὖν, ὦ Λακεδαιμόνιοι, 5

πρβλ. «οὐ χρὴ δ' ἄγνοεῖν ὅτι ζημίαν οὐ τὴν εἰς χρήματα μόνον ἐκάλουν, ἀλλὰ καὶ τὴν εἰς τὸ σῶμα» (Πολυδ. Η', 22).

§ 2. ὁμοῖοι] ἐλευθερωταὶ τῆς Ἑλλάδος δηλονότι (Σχολ.). — καὶ τότε καὶ νῦν ἐσμὲν] ὁμοίως καὶ ἀλλαχοῦ (Γ', 40, 2), ἐννοητέον δὲ εἰς τὸ τότε τὸ ἦμεν, πρβλ. «τὸ σαφὲς οὐδεὶς οὔτε τότε οὔτε ὕστερον ἔχει εἰπεῖν» (Ϛ', 60, 2) καὶ «ὑπὲρ οὗ καὶ τότε καὶ νῦν καὶ ἀεὶ ὁμολογῶ πολεμεῖν» (Δημ. 18, 31). Ἀλλαχοῦ δ' ἀντιστρόφως «πρότερόν τε . . ἦσαν, καὶ νῦν» (Α', 141, 2). — ἢν σωφρονῶμεν] πρβλ. Α', 40, 2. — οὐδὲ μελλήσομεν τιμωρεῖν] δηλ. αὐτοῖς (τοῖς ξυμμάχοις), τὸ δὲ μελλήσομεν = βραδυνοῦμεν, «ὑπερθησόμεθα. Τοῦτο πρὸς Ἀρχίδαμον λέγοντα ὡς δεῖ βραδύνειν» (Σχολ.). πρβλ. Α', 82, 2. 84, 1. — Οἱ γ' οὐκέτι μέλλουσι κακῶς πάσχειν] = ἐπειδὴ οὗτοι οὐκέτι μέλλουσι κακῶς πάσχειν· τὸ γὰρ μέλλουσι νῦν οὐχὶ ὥσπερ ἐπὶ τοῦ βραδύνουσι δεκτέον, ἀλλ' ἐπὶ τοῦ ἐσομένου χρόνου (Σχολ.). Ἐν τοῖς χειρογράφοις φέρεται «οἱ δ' οὐκέτι», ὁ δ' Ἐρουερδὴν ἔγραψε «τιμωρεῖν· τοῖς οὐκέτι» ἢ «τιμωρεῖν· οἱ γ' οὐκέτι», ὁ δὲ Πόππος «τιμωρεῖν οὐκέτι». Ἐννοοῦνται δὲ οἱ σύμμαχοι.

§ 3. ἄλλοις μὲν γὰρ] δηλ. τοῖς Ἀθηναίοις. «Ταῦτα πάλιν πρὸς Ἀρχίδαμον ἀποτείνει λέγοντα ὡς πλούσιοί εἰσιν οἱ Ἀθηναῖοι» (Σχολ.). πρβλ. Α', 80, 3). — οὐ παραδοτέα] περὶ τοῦ πληθυντ. ἀντὶ τοῦ «οὐ παραδοτέον» ὅρα Α', 72, 1. — οὐδὲ διακριτέα] = οὐδὲ διακρίνεσθαι (= ἀγωνίζεσθαι, διαφέρεσθαι) δεῖ ἡμᾶς. — μὴ λόγῳ καὶ αὐτοὺς βλαπτομένους] = ἐπεὶ καὶ ἡμεῖς αὐτοί οὐ λόγῳ βλαπτόμεθα. Ἡ αἰτιατ. «αὐτοὺς βλαπτομένους» ἐτέθη διὰ τὸ ἐμπεριεχόμενον ὑποκείμενον ἡμᾶς εἰς τὰ εἰς —τέα ῥηματικὰ ἐπίθετα ἢ κατ' ἄλλους διὰ τὴν ἐμπεριεχομένην δοτικὴν ἡμῖν τεθεῖσαν κατὰ τὸ «ἀπολογησομένοις» (Λ', 72, 1). Ὁ λόγος θὰ ἦτο σαφέστερος, εἰ ἐξεφέρετο ὧδε· «οὓς οὐ παραδώσομεν Ἀθηναίοις οὐδὲ δίκαις καὶ λόγοις διακρινούμεθα οὐ λόγῳ καὶ αὐτοὶ βλαπτόμενοι». — τιμωρητέα] ἅπαξ κεῖται ἡ λέξις παρὰ τῷ Θουκυδίδῃ = βοηθητέον τοῖς συμμάχοις, κατ' ἄλλους δὲ = τιμωρητέον τοὺς Ἀθηναίους. Ἡμεῖς προτιμῶμεν τὴν πρώτην ἑρμηνείαν, διότι οἱ Λακεδαιμόνιοι ὤφειλον πρῶτον νὰ βοηθήσωσι τοῖς κινδυνεύουσι συμμάχοις καὶ εἶτα νὰ τιμωρήσωνται τοὺς Ἀθηναίους. — παντὶ σθένει] = πάσῃ δυνάμει (πρβλ. Ε', 23, 3. Πλάτ. Νόμ. 646, α'. Ξεν. Παιδ. Ϛ', α', 4?).

§ 4. ὡς ἡμᾶς] προτάσσεται χάριν ἐμφάσεως = καὶ μηδεὶς διδασκέτω ὡς πρέπει ἡμᾶς ἀδικουμένους βουλεύεσθαι. Ἀναφέρονται δὲ εἰς τὰ τοῦ Ἀρχιδάμου (Α', 85, 1-2). — τοὺς μέλλοντας ἀδικεῖν] τοὺς Ἀθηναίους. Ὁ δὲ Βάδαμος κατὰ τὴν παρὰ Θουκυδίδῃ πλείονα χρῆσιν προτιμᾷ νὰ γράψῃ «ἀδικήσειν».

§ 5. καταπροδιδῶμεν] πολλὰ ῥήματα συντίθενται μετὰ τῆς κατά, ἥτις σημαίνει παραμέλησιν τοῦ καθήκοντος ἢ παράβασιν τῆς πίστεως, ὡς καταχαρίζομαι, καταλεῶ,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀξίως τῆς Σπάρτης τὸν πόλεμον καὶ μήτε τοὺς Ἀθηναίους ἐᾶτε μείζους γίγνεσθαι, μήτε τοὺς ξυμμάχους καταπροδιδῶμεν, ἀλλὰ ξὺν τοῖς θεοῖς ἐπίωμεν πρὸς τοὺς ἀδικοῦντας».

87. Τοιαῦτα δὲ λέξας ἐπεψήφιζεν, αὐτὸς ἔφορος ὢν ἐς τὴν ἐκκλησίαν τῶν Λακεδαιμονίων. Ὁ δὲ (κρίνουσι γὰρ βοῇ καὶ οὐ ψήφῳ) οὐκ ἐφη διαγιγνώσκειν τὴν βοήν, ὁπότερα μείζων, ἀλλὰ βουλόμενος αὐτούς, φανερῶς ἀποδεικνυμένους τὴν γνώμην, ἐς τὸ πολεμεῖν μᾶλλον ὁρμῆσαι ἔλεξεν· «Ὅτῳ μὲν ὑμῶν, ὦ Λακεδαιμόνιοι, δοκοῦσι λελύσθαι αἱ σπονδαὶ καὶ οἱ Ἀθηναῖοι ἀδικεῖν, ἀναστήτω ἐς

καταμελῶ, καταπερδαίνω, καταδωροδοκῶ, καταπροδίδωμι, καταρραθυμῶ, καταδειλιῶ (ὅρα Cobet. Nov. Lect. 574-5). — *ἐπίωμεν πρὸς τοὺς ἀδικοῦντας*] πρβλ. «πρὸς οὐ διεγνωκότας . . ἐπέρχονται» (Α', 69, 2); πρβλ. καὶ Β', 65, 11. Δ', 92, 7. Ὁ δὲ Κόβητος γράφει «ἴωμεν ἐπὶ τοὺς ἀδικοῦντας», τὸ δ' «ἐπὶ τοὺς ἀδικοῦντας» φέρεται καὶ ἐν τῷ Λαυρεντ. κώδικι (πρβλ. καὶ Α', 85, 2).

Κεφ. 87. *Ἐν τῇ ἐκκλησίᾳ τῆς Σπάρτης ἡ ψηφοφορία γίνεται κατὰ τῶν Ἀθηνῶν, ἡ δὲ πάντων τῶν συμμάχων γνώμη ἀναβάλλεται εἰς ἑτέραν συνεδρίαν.*

§ 1. *Λέξας*] ὅρα Α', 79, 2. — *ἐπεψήφιζεν*] ἔγινεν ἐκ συντάξεως ἐκ τοῦ *ἐπὶ ψῆφον καλῶ τινὰ* καὶ λέγεται ἐπὶ τῶν πρυτάνεων (Ϛ', 14) καὶ τῶν ἐν Σπάρτῃ ἐφόρων, οἵτινες ἐπέτρεπον τὴν ψηφοφορίαν, ἀντ' αὐτοῦ δὲ λέγεται καὶ *«δίδωμι τῷ δήμῳ τὴν ψῆφον»* (Δημ. 59, 90). *ψῆφον προτίθημι* (Ξεν. Ἑλλ. Α', ζ', 14) καὶ *ψῆφον ἐπάγω* (Θουκ. Α', 87, 4. 119, 125, 1). Ὁ δὲ παρατατ. σημαίνει τὴν διάρκειαν τῆς πράξεως, μετεχειρίσατο δὲ τὸ ῥῆμα κατὰ συνήθειαν Ἀττικήν, διότι οἱ Λακεδαιμόνιοι δὲν μετεχειρίζοντο ψήφους. Συντάσσεται δ' αἰτιατικῇ, ὡς *ἐπεψηφίζω τοὺς παρόντας* (Πλάτ. Γοργ. 474, α'), *τὲ* (αὐτ. 476, α', κτλ.), παρὰ δὲ Λουκιανῷ καὶ δοτικῇ *«ἐπεψήφισε τῇ ἐκκλησίᾳ»* (Τίμ. 44) = ψῆφον προέθηκεν, ἐπήγαγε τῇ ἐκκλησίᾳ, τὸ δ' *ἐπεψηφίζειν ἐς τὴν ἐκκλησίαν* εἶναι μοναδικὸν παράδειγμα. Διὰ τοῦτο ὁ μὲν Κρυγῆρος, καθ' ὃν καὶ ὁ Ἐρουερδὴν καὶ Στάλλιος, ὠθέλισε τὰς λέξεις «ἐς τὴν ἐκκλησίαν τῶν Λακεδαιμονίων», ὁ δὲ Βάδαμος γράφει «τῶν δὲ Λακεδαιμονίων (κρίνουσι γὰρ κτλ.)», ὁ δὲ Οὐλριχος συνδέει τὰς λέξεις ταύτας πρὸς τὸ «ἔφορος ὤν». Ἀλλὰ διὰ τοῦ ὠθελισμοῦ τῶν λέξεων τούτων δὲν δύναται νὰ νοηθῇ ἡ διὰ τοῦ δ' δὲ ἀντίθεσις. Διὸ ἡμεῖς νομίζομεν ὅτι ἐξέπεσε πρὸ τοῦ ἐς τὸ *τοὺς παρόντας* = *ἐπεψήφιζε τοὺς παρόντας τῶν Λακεδαιμονίων ἐς τὴν ἐκκλησίαν* = ἐκάλει ἐπὶ ψῆφον τοὺς παρόντας.

§ 2. *καὶ οὐ ψήφῳ*] ἠδύνατο νὰ προστεθῇ καὶ τὸ *κοὐδὲ χειροτονίᾳ*». — *ὁποτέρα μείζων*] πρβλ. Σχολ. «ἢ πάντες βοῶσιν ἢ ἡσυχάζουσί τινες, τινὲς δὲ βοῶσιν, ἐπαινοῦντες τὰ εἰρημένα» πρβλ. καὶ Πλουτάρχ. Λυκοῦργ. 26. — *φανερῶς ἀποδεικνυμένους τὴν γνώμην*] μέσον κτητικὸν = ἀποδεικνύοντας φανερῶς τὴν ἑαυτῶν γνώμην. πρβλ. καὶ *«ἀναγκάσαντες τὸν δῆμον ψῆφον φανερὰν διενεγκεῖν»* (Δ', 74, 3). Εἶναι δὲ τροπικὴ μετοχή. — *ὁρμῆσαι*] μεταβατ. = παρορμῆσαι, παροξῦναι (πρβλ. Α', 127, 3. Β', 20, 4. Πλάτ. Ἴων 534, γ'). Ὁ Σθενελάδας ὑποχρεώσας πάντας νὰ ἐκφράσωσι τὴν ἑαυτῶν γνώμην φανερῶς ἤλπιζεν ὅτι θὰ ἀφῄρει τὸν ἐνδοιασμὸν εἰς τὴν κατὰ τῶν Ἀθηναίων κήρυξιν τοῦ πολέμου, διότι ἕκαστος θὰ ἠσχύνετο νὰ ἀποχωρισθῇ τῆς πλειονότητος. — *μᾶλλον*] ὅηλ. ἢ εἰ μὴ *φανερῶς ἀπεδείκνυντο τὴν γνώμην*. — *ἀδικεῖν*] = ἠδικηκέναι. — *ἀναστήτω*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐκεῖνο τὸ χωρίον», δείξας τι χωρίον αὐτοῖς, «ὅτῳ δὲ μὴ δοκοῦσιν, ἐς τὰ ἐπὶ θάτερα». Ἀναστάντες δὲ διέστησαν, καὶ πολλῷ πλείους ἐγένοντο οἷς ἐδόκουν αἱ σπονδαὶ λελύσθαι. Προσκαλέσαντές τε τοὺς ξυμμάχους εἶπον ὅτι σφίσι μὲν δοκοῖεν ἀδικεῖν οἱ Ἀθηναῖοι, βούλεσθαι δὲ καὶ τοὺς πάντας ξυμμάχους παρακαλέσαντες ψῆφον ἐπαγαγεῖν, ὅπως κοινῇ βουλευσάμενοι τὸν πόλεμον ποιῶνται, ἢν δοκῇ. Καὶ οἱ μὲν ἀπεχώρησαν ἐπ' οἴκου διαπραξάμενοι ταῦτα, καὶ οἱ Ἀθηναίων πρέσβεις ὕστερον ἐφ' ἅπερ ἦλθον χρηματίσαντες. Ἡ δὲ διαγνώμη ἐκφέρεται πρῶτον μὲν κατ' εὐκτικήν, εἶτα δὲ κατ' ἀπαρέμφατον (πρβλ. καὶ Β', 80, 4.Γ', 2.3.3; 3.7; 4.Δ', 27,4.46,5.Ε', 64, 2).—τοὺς πάντας ξυμμάχους] ὅλους ὁμοῦ τοὺς συμμάχους, διότι πρότερον (Α', 67, 3) μόνον τινὰς προσεκάλεσαν. — παρακαλέσαντες]=προσκαλέσαντες (ὅρα Α', 67, 1). —ψῆφον] ἀνάρθρως, πρβλ. καὶ Α', 119, 1-125, 1. Δ', 74, 3. Τὸ δὲ ψῆφον ἐπαγαγεῖν =προθεῖναι ψῆφον, εἰς ψῆφον αὐτοὺς καλέσαι, ἐπιψηφίσαι (ὅρα § 1). — ἢν δοκῇ] δηλ. αὐτοῖς τὸν πόλεμον ποιεῖσθαι.

§ 5. οἱ μὲν] ἦγουν οἱ σύμμαχοι (Σχολ.). ἐπ' οἴκου] πρβλ. Α', 30, 2. — καὶ οἱ Ἀθηναίων πρέσβεις] μετεβλήθη ἡ συμμετρία ἀντὶ τοῦ «οἱ δὲ Ἀθηναίων πρέσβεις», ἐννοεῖται δὲ τὸ «ἀπεχώρησαν ἐπ' οἴκου» μετὰ τὸ ὕστερον. — ἐφ' ἅπερ ἦλθον χρηματίσαντες] = χρηματίσαντες ἐκεῖνα, ἐφ' ἃ ἦλθον. Τὸ μὲν χρηματίζω ἐκ τοῦ ἐνικοῦ χρῆμα(=πρᾶγμα)=πραγματεύομαι, πράγμασι χρῶμαι, πράττω ἰδιωτικὰς καὶ μάλιστα δημοσίας ὑποθέσεις (πρβλ. Ε', 5, 1. 61, 1. ς', 62. Πλουτάρχ. Θεμιστ. ΙΙΙ', 1), τὸ δὲ μέσον χρηματίζομαι ἐκ τοῦ πληθ. χρήματα=συλλέγω ἐμαυτῷ χρήματα (ὅρα Ζ', 13, 2), πρβλ. φρυγανίζομαι (συλλέγω φρύγανα), λαχανίζομαι, κτλ. (ὅρα Γ. Ζηκῶ. Λεξ. Ἀττ. Ῥημ. σ. 552), πρβλ. καὶ Σχολ. «χρηματίσαι μέν ἐστι τὸ πρᾶξαι, χρηματίσασθαι δὲ τὸ κερδᾶναι».

§ 6. διαγνώμη] λέξις Θουκυδίδειος (Γ', 42, 1. 67, 7) ἀντὶ τοῦ διάγνωσις (ἀπόφασις), πρβλ. καὶ Σχολ. «διαγνώμη, διάγνωσις καὶ διάκρισις· ἰδικὴ δὲ αὕτη ἡ λέξις».

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αὕτη τῆς ἐκκλησίας [τοῦ τὰς σπονδὰς λελύσθαι] ἐγένετο ἐν τῷ τετάρτῳ ἔτει καὶ δεκάτῳ [τῶν τριακοντουτίδων σπονδῶν προκεχωρηκυιῶν] αἳ ἐγένοντο μετὰ τὰ Εὐβοϊκά.

88. Ἐψηφίσαντο δὲ οἱ Λακεδαιμόνιοι τὰς σπονδὰς λελύσθαι καὶ πολεμητέα εἶναι, οὐ τοσοῦτον τῶν ξυμμάχων πεισθέντες τοῖς λόγοις ὅσον φοβούμενοι τοὺς Ἀθηναίους μὴ ἐπὶ μεῖζον δυνηθῶσιν, ὁρῶντες αὐτοῖς τὰ πολλὰ τῆς Ἑλλάδος ὑποχείρια ἤδη ὄντα.

89. Οἱ γὰρ Ἀθηναῖοι τρόπῳ τοιῷδε ἦλθον ἐπὶ τὰ πράγματα ἐν οἷς ηὐξήθησαν

—τοῦ τὰς *σπονδὰς λελύσθαι*] ὠφέλισε τὰς λέξεις ταύτας *σχόλιον* οὔσας ὁ Ἑρμογενὴν, μεθ' ὃν καὶ ὁ Κόβητος καὶ ὁ Στάλλιος· διότι ἡ ἀντωνυμία αὕτη ἀναφέρεται εἰς τὰ ἡγούμενα (§ 3).—*ἐν τῷ τετάρτῳ καὶ δεκάτῳ ἔτει*] δηλ. τῷ 432 π. Χ. Παρὰ Θουκυδίδῃ δὲ ὡς ἐπὶ τὸ πολὺ τὰ τακτικὰ ἀριθμητικὰ μετὰ τοῦ *ἔτους* τίθενται ἄνευ τῆς ὲν προθέσεως (πρβλ. Α', 12,3. Β', 2,1. Ϛ', 59,4. Η', 58,1), ὁ δὲ Κρυγῆρος, Κλαστήνιος καὶ ἄλλοι συνάπτουσι ταύτας τὰς λέξεις τῷ «*προκεχωρηκυιῶν*» = ἐς τέταρτον καὶ δέκατον ἔτος προκεχωρηκυιῶν καὶ ἐν τούτῳ οὐσῶν, πρβλ. «ἐν τῇ γῇ καταπεφευγυίαις» (Δ', 14,1. ὅρα καὶ «*εἰς τὸ Ἥραιον κατέφυγον*» Ξεν. Ἑλλ. Δ', ε', 5) καὶ «*οἱ ἐν τῇ νήσῳ ἄνδρες διαβεβηκότες*» (Ζ', 71,7) καὶ «ἐν τῷ τοιούτῳ χωρίῳ ἐμπεπτωκότας» (Ζ', 87, 2), ὁ δὲ Πόππος συνάπτει αὐτὰς τῷ *ἐγένετο*=ἐγένετο ἐν τῷ τετάρτῳ καὶ δεκάτῳ ἔτει τῶν σπονδῶν ἐς τοῦτο τὸ ἔτος προκεχωρηκυιῶν. —*τριακοντουτίδων σπονδῶν*] *τριακοντούτιδας σπονδὰς* καὶ ὁ Ἀριστοφάνης καλεῖ, ὁ δὲ Θουκυδίδης ἀλλαχοῦ καλεῖ αὐτὰς *τριακοντούτεις* (πρβλ. Α', 23, 4. 115, 1. Β', 2,1).—*μετὰ τὰ Εὐβοϊκά*] «*μεθ' ὃ ἔλαβον οἱ Ἀθηναῖοι τὴν Εὔβοιαν*» (Σχολ.), πρβλ. Α', 114. 115.

Κεφ. 88. *Οἱ Λακεδαιμόνιοι ἐψηφίσαντο τὸν κατ' Ἀθηναίων πόλεμον μᾶλλον ἐκ τοῦ φόβου τῆς δυνάμεως τῶν Ἀθηναίων τῆς αὐξανομένης.*

Ἐψηφίσαντο] μεταβαίνει ὁ συγγραφεὺς εἰς τὴν ἀληθῆ τοῦ πολέμου αἰτίαν (πρβλ. Α', 23, 6). — *πολεμητέα εἶναι*]=δέον εἶναι πολεμεῖν (πρβλ. Α', 86,3).—*πεισθέντες . . φοβούμενοι*] αἰτιολ. μετοχαί. —*ἐπὶ μεῖζον*] πρβλ. «*ἐπὶ μέγα προχωρησάντων*» (Α', 16) καὶ «*ἐπὶ τὰ μεῖζονα*» (Α', 10, 3), «*ἐπὶ πολύ*» (Α', 50, 2).—*δυνηθῶσιν*] ἀόριστος ἐναρκτικὸς=δυνατοὶ γένωνται, πρβλ. καὶ «*ἰσχυσάντων*» (Α', 3, 2). — *ὁρῶντες*] αἰτιολ. μετοχὴ τοῦ «*φοβούμενοι*». — *αὐτοῖς*] συναπτέον τῷ *ὑποχείρια ὄντα*=*ὑποτεταγμένα*· πρβλ. Ξεν. Ἀν. Γ', 6', 3. — *τὰ πολλὰ*]=τὰ πλείονα, πρβλ. «*τῶν πολεμίων τὰ μὲν πολὺ ἥμενον ἐπὶ τῇ ὑπερβολῇ τοῦ ὄρους, μέρος δ' αὐτῶν ἀπήντα τοῖς κατὰ τὰ ἄκρα*» (Ξεν. Ἀν. Δ', 7', 24).

Κεφ. 89. *Ἱστορία τῆς αὐξήσεως τῆς τῶν Ἀθηναίων δυνάμεως. Ἄλωσις τῆς Σηστοῦ. Οἱ Ἀθηναῖοι πειρῶνται ἀνοικοδομεῖν τὴν πόλιν καὶ τὰ τείχη.*

§ 1. *Οἱ γὰρ Ἀθηναῖοι*] ὁ Θουκυδίδης ἄρχεται νὰ εἴπῃ τὰ ἐπὶ 50 σχεδὸν ἔτη συμβάντα ἀπὸ τῆς ἐν Μυκάλῃ μάχης μέχρι τῆς ἐναρξεως τοῦ Πελοπόν. πολέμου (479—431 π. Χ.) καὶ πῶς ηὐξήθησαν οἱ Ἀθηναῖοι (ὅρα Α', 89—118). — *ἦλθον ἐπὶ τὰ πράγματα, ἐν οἷς ηὐξήθησαν*] = ἦλθον (ὡδηγήθησαν) εἰς τὰς πράξεις (τὰς ἐπιχειρήσεις), δι' ὧν ηὐξήθησαν. Ἰδίᾳ δὲ ἡ περὶ τούτων διήγησις ἄρχεται ἀπὸ τοῦ κεφ. 97, τὰ δὲ προτασσόμενα εἶναι προπαρασκευαστικά· πρβλ. καὶ «ἦσαν ἐπὶ τὰ πράγματα» (Η', 92, 2).

θησαν. Ἐπειδὴ Μῆδοι ἀνεχώρησαν ἐκ τῆς Εὐρώπης νικηθέντες καὶ ναυσὶ καὶ 2
πεζῷ ὑπὸ Ἑλλήνων καὶ οἱ καταφυγόντες αὐτῶν ταῖς ναυσὶν ἐς Μυκάλην διε-
φθάρησαν, Λεωτυχίδης μὲν ὁ βασιλεὺς τῶν Λακεδαιμονίων, ὅσπερ ἡγεῖτο τῶν
ἐν Μυκάλῃ Ἑλλήνων, ἀπεχώρησεν ἐπ' οἴκου ἔχων τοὺς ἀπὸ Πελοποννήσου
ξυμμάχους· οἱ δὲ Ἀθηναῖοι καὶ οἱ ἀπὸ Ἰωνίας καὶ Ἑλλησπόντου ξύμμαχοι
ἤδη ἀφεστηκότες ἀπὸ βασιλέως, ὑπομείναντες Σηστὸν ἐπολιόρκουν Μήδων ἐχόν-
των, καὶ ἐπιχειρήσαντες εἷλον αὐτὴν ἐκλιπόντων τῶν βαρβάρων, καὶ μετὰ
τοῦτο ἀπέπλευσαν ἐξ Ἑλλησπόντου ὡς ἕκαστοι κατὰ πόλεις. Ἀθηναίων δὲ τὸ 3

§ 2. *Ἐπειδὴ Μῆδοι*] ἀσυνδέτως πρὸς τὰ ἡγούμενα, ἂν καὶ προηγήθη τὸ ὧδε, ἀντὶ τοῦ «ἐπειδὴ γὰρ *Μῆδοι*».—*ἀνεχώρησαν*] τῷ 479 π. Χ.—*ναυσὶ*] ἐν τῇ Σαλαμῖνι.—*πεζῷ*] ἐν Πλαταιαῖς.—*αὐτῶν*] τῶν *Μήδων* (Σχολ.).—*Μυκάλῃ*] τῷ 479 π. Χ. πρβλ. Ἡροδ. Θ', 100 κ. ἑ.—*Λεωτυχίδης*] πατὴρ τοῦ Ζευξιδάμου καὶ πάππος τοῦ Ἀρχιδάμου. Ὅρα περὶ αὐτοῦ Ἡροδ. Ϛ', 65—72. 73 κ. ἑ. 85 κ. ἑ. Η', 131. Θ', 90 κ. ἑ.—*ἐν Μυκάλῃ*] δηλ. *μαχεσαμένων*.—*ἀπεχώρησεν*] πρβλ. Ἡροδ. Θ', 114.—*ἐπ' οἴκου*] πρβλ. Α', 87, 5.—*τοὺς ἀπὸ Πελοποννήσου ξυμμάχους*] ὁ Κόβητος ὀβελίζει τὸ «ξυμμάχους».—*οἱ δὲ Ἀθηναῖοι*] ἡγουμένου τοῦ Ξανθίππου.—*ξύμμαχοι*] ὁ Κόβητος καὶ ὁ Οὐϊλαμοβίτζιος ὀβελίζουσιν αὐτό. Ὁ δὲ Κλασσήνιος καὶ Κροάζετος δὲν στίζουσι μετ' αὐτό, νομίζουσι δὲ τὴν μετοχὴν ἀφεστηκότες ὡς εἰ ἦν *οἱ ἀφεστηκότες ξύμμαχοι*»=οἱ ἀφεστηκότες καὶ γενόμενοι ξύμμαχοι.—*ἀφεστηκότες ἀπὸ βασιλέως*] οὗτοι ἀπέστησαν μετὰ τὴν ἐν Μυκάλῃ μάχην (Ἡροδ. Θ', 104), ἡ δὲ ἀπὸ σημαίνει χωρισμόν, ἐν ᾧ πρότερον ἐν τῷ «ἀπὸ Ἰωνίας» σημαίνει καταγωγήν.—*ὑπομείναντες*] = μείναντες ὀπίσω (κοινῶς *ἀπομείναντες*) κατ' ἀντίθεσιν πρὸς τὸ ἀποχωρεῖν. πρβλ. *ἔτοῖσι μὲν ἀμφὶ Λευτυχίδην Πελοποννησίοισι ἔδοξε ἀποπλώειν ἐς τὴν Ἑλλάδα, Ἀθηναίοισι δὲ καὶ Ξανθίππῳ.. αὐτοῦ ὑπομείνασι πειρᾶσθαι τῆς Χερσονήσου* (Ἡροδ. Θ', 114), πρβλ. καὶ Ἰσοκρ. 4, 35.—*Σηστὸν*] Σηστὸς ἡ πόλις *λέγεται καὶ ἀρσενικῶς καὶ θηλυκῶς*» (Σχολ.), κεῖται δ' αὕτη ἐπὶ τῆς Θρᾳκικῆς Χερσονήσου ἀντικρὺ τῆς Ἀβύδου. Περὶ δὲ τῆς πολιορκίας αὐτῆς ὅρα Ἡροδ. Θ', 114 κ. ἑ., ἐγένετο δ' αὕτη τῷ 478 π. Χ.—*Μήδων ἐχόντων*] δηλ. *αὐτὴν* (πρβλ. Α', 94, 2. 98, 1), τοῦτο δ' οἱ Λατῖνοι ἐκφράζουσι παθητ. «a Medis occupatam».—*ἐπιχειρήσαντες*]=τὸν χειμῶνα διαγαγόντες που, πρβλ. *ὑπὸ θέρους που διαγαγεῖν θερίσαι καὶ ἐνθερίσαι, καὶ τὸ ἦρος ἐαρίσαι καὶ ἐνεαρίσαι, καὶ τὸ χειμῶνος χειμάσαι καὶ ἐγχειμάσαι καὶ χωρία χειμάδια*» (Πολυδ. Α', 62), πρὸς δὲ τούτοις λέγεται *καὶ διαχειμάζειν καὶ παραχειμάζειν*, τὸ δὲ *ἐπιχειμάζειν* μόνον παρὰ Θουκυδ. ἐκ τῶν Ἀττικῶν πεζολόγων ἐνταῦθα ἀπαντᾷ=ἐγχειμάζειν (μτγ.).—*εἷλον αὐτὴν*] ὁ Ἑρουερδὴν προτιμᾷ νὰ ὀβελισθῇ τὸ «*αὐτήν*».—*ἐκλιπόντων τῶν βαρβάρων*] δηλ. *αὐτήν*, πρβλ. ὀλίγῳ πρόσθεν «*Μήδων ἐχόντων*», ἔχουσι δ' ἀμφότεραι ἀναφορ. σημασίαν=ἣν εἶχον καὶ ἣν ἐξέλιπον ἢ=ἐχομένην ὑπὸ τῶν Μήδων καὶ ἐκλειφθεῖσαν ὑπὸ τῶν βαρβάρων (Ἀσωπ. Π. Β', σ. 473, § 74), κακῶς δ' ὁ Σχολ. ἑρμηνεύει τὸ *ἐκλιπόντων* διὰ τοῦ *ἀφανισθέντων*.—*ὡς ἕκαστοι*] κατὰ Βυττεμβάχιον = ὡς ἕκαστοι εἶχον πατρίδος, οὕτως ἕκαστοι ἀπέπλευσαν εἰς τὰς ἑαυτῶν πατρίδας (ὅρα Ἀσωπ. Π. Β', σ. 872, § 38-40) ἢ = ὡς ἕκαστοι ἀποπλέοντες ἐτύγχανον, δηλ. ἄλλοι ἄλλοσε (πρβλ. σημ. Α', 3, 4).

§ 3. *Ἀθηναίων τὸ κοινὸν*] = τὸ ὅλον,

§ 2. *ἐς τὴν Μεγαρίδα*] *γῆν δηλονότι* (Σχολ.).—*δενδροτομήσαντες*]=*δενδροκοπήσαντες*, εἰς ὃ ὁ Ἑρμερδὴν ἄνευ λόγου μεταγράφει. Μόνον δ' ἐνταῦθα παρὰ τοῖς Ἀττικ. πεζολόγοις τὸ ῥῆμα *δενδροτομεῖν* (πρβλ. καὶ Ἀριστοφ. Εἰρ. 747) φέρεται.— *ἐπ' οἴκου*] ὅρα Α', 106,2. — *δευτέρᾳ καὶ ἑξηκοστῇ*] *ἦγουν παρελθουσῶν ἡμερῶν ἑξήκοντα δύο* (Σχολ.).—*μετὰ τὴν μάχην*] *τὴν ἐν Τανάγρᾳ* (Σχολ.).

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μάχην ἐστράτευσαν ἐς Βοιωτοὺς Μυρωνίδου στρατηγοῦντος, καὶ μάχῃ ἐν Οἰ- 3
νοφύτοις τοὺς Βοιωτοὺς νικήσαντες τῆς τε χώρας ἐκράτησαν τῆς Βοιωτίας καὶ
Φωκίδος καὶ Ταναγραίων τὸ τεῖχος περιεῖλον καὶ Λοκρῶν τῶν Ὀπουντίων
ἑκατὸν ἄνδρας ὁμήρους τοὺς πλουσιωτάτους ἔλαβον, τά τε τείχη τὰ ἑαυτῶν
τὰ μακρὰ ἐπετέλεσαν. Ὡμολόγησαν δὲ καὶ Αἰγινῆται μετὰ ταῦτα τοῖς Ἀθη- 4
ναίοις, τείχη τε περιελόντες καὶ ναῦς παραδόντες φόρον τε ταξάμενοι ἐς τὸν
ἔπειτα χρόνον. Καὶ Πελοποννήσου περιέπλευσαν Ἀθηναῖοι Τολμίδου τοῦ Τολ- 5
μαίου στρατηγοῦντος, καὶ τὸ νεώριον τὸ Λακεδαιμονίων ἐνέπρησαν καὶ Χαλ-
κίδα Κορινθίων πόλιν εἷλον καὶ Σικυωνίους ἐν ἀποβάσει τῆς γῆς μάχῃ ἐκράτησαν.

109. Οἱ δ' ἐν τῇ Αἰγύπτῳ Ἀθηναῖοι καὶ οἱ ξύμμαχοι ἐπέμενον καὶ αὐ- 1
τοῖς πολλαὶ ἰδέαι πολέμων κατέστησαν. Τὸ μὲν γὰρ πρῶτον ἐκράτουν τῆς 2

§ 3. *Οἰνοφύτοις*] τὰ *Οἰνόφυτα χωρίον τῆς Βοιωτίας* (Σχολ.) ἐν τῇ Ταναγραίᾳ χώρᾳ — *τῆς χώρας*] τῆς γῆς τῆς Βοιωτίας (μὴ συμπεριλαμβανομένης τῆς πόλεως τῶν Θηβῶν) καὶ τῆς τῆς Φωκίδος (Κλασσήνιος).—*περιεῖλον*] = *καθεῖλον* (Σχολ.) τὸ τεῖχος, ὃ περιέβαλε, τὴν πόλιν (πρβλ. *τὸν περίβολον*), ὅρα Δ', 51, 1. 133, 1.—*ἑκατὸν ἄνδρας*] ἀμφίβολος εἶναι ἡ ἑρμηνεία τοῦ Βοικχίου (εἰς Πίνδ. Ὀλυμπ. Η', σ. 188), ἤτοι ἕνα ἄνδρα ἐκ τῶν ἑκατὸν γενῶν τῶν Λοκρῶν.—*ἐπετέλεσαν*] τῷ 458 π. Χ. (ὅρα Α', 107, 1).

§ 4. *ὡμολόγησαν*] τῷ 457 π. Χ., πότε δ' ἤρχισεν ἡ πολιορκία τῶν Αἰγινητῶν ὅρα Α', 105, 2 καὶ Διόδωρ. ΙΑ', 78, 5.—*περιελόντες*] περὶ τῶν μετοχῶν μετὰ τὸ *ὁμολογεῖν* ὅρα σημ. Α', 101, 3.—*φόρον ταξάμενοι*] ὅρα σημ. Α', 99, 3.

§ 5. *Πελοπόννησον περιέπλευσαν*] τῷ 456 π. Χ. *ἐπὶ βλάβῃ τῆς Πελοποννήσου* (Σχολ.), πρβλ. Αἰσχίν. 2, 75: Διόδωρ. ΙΑ', 84. Παυσαν. Α', κζ', 6.—*Τολμίδου*] πρβλ. καὶ Α', 113, 1 καὶ Διόδωρ. ΙΑ', 84.— *τὸ νεώριον*] τὸ Γύθειον, πρβλ. «Γυθείῳ, ἔνθα τὰ νεώρια τοῖς Λακεδαιμονίοις ἦν» (Ξεν. Ἑλλ. Ϛ', ε', 32). — *Χαλκίδα Κορινθίων πόλιν*] πόλις τῆς Αἰτωλίας ἡ *Χαλκὶς* εἰς τὸ στόμιον τοῦ Εὐήνου (*Φίδαρις* νῦν) καὶ εἰς τοὺς πρόποδας τοῦ ὄρους Χαλκίδος, καλουμένου νῦν *Βαράσσοβα*, κειμένη (Θουκ. Β', 83, 3) καὶ καλουμένη καὶ *Ὑπόχαλκις* (Στράβ. Γ', σ. 451, 4). Ταύτην τὴν πόλιν τότε κατεῖχον οἱ Κορίνθιοι, ὡς ἐν τῇ Λοκρίδι εἶχον ἀποικίαν τὸ *Μολύκρειον* (Γ', 102, 2), ἐν Ἀκαρνανίᾳ τὸ *Ἀνακτόριον* (Α', 55, 1) καὶ τὸ *Σάλλιον* (Β', 30, 1).— *Σικυωνίους*] τοὺς κατοίκους τῆς *Σικυῶνος*, ἥτις πρότερον ἐκαλεῖτο *Αἰγιαλοὶ* καὶ *Μηκώνη*, νῦν δ' ἐρείπια παρὰ τὸ χωρίον *Βασιλικὰ* σῴζονται.—*ἐν ἀποβάσει τῆς γῆς*] = ἀποβάντες εἰς τὴν γῆν. Τὸ τῆς γῆς εἶναι γενικὴ τοῦ τέρματος (ὅρα σημ. Α', 36, 2).—*ἐκράτησαν*] = ἐνίκησαν.

Κεφ. 109. *Ἅπτα τῶν Ἀθηναίων ἐν Αἰγύπτῳ.*

§ 1. *Οἱ δ' ἐν τῇ Αἰγύπτῳ Ἀθηναῖοι*] πρβλ. κεφ. 104.—*ἐπέμενον*] ὁ Λαυρεντ. κῶδιξ ἔχει *αὖτι ἔμενον*». —*πολλαὶ ἰδέαι πολέμων*] = εἴδη, τρόποι (ὅρα Β', 19, 1. 77, 3. Γ', 81, 5. κτλ.) = *διάφοροι πόλεμοι, οἷον ναυμαχίαι καὶ πεζομαχίαι καὶ νίκαι καὶ ἥτται* (Σχολ.). Τὸ *ἰδέα* σπανίως εὑρηται παρὰ τοῖς Ἀττικοῖς ἐξαιρουμένου τοῦ Πλάτωνος, παρὰ δὲ Θουκυδίδῃ εὑρηται 13 φορὰς ἀεὶ εἰς ἑνικ. ἀριθμόν, μόνον δ' ἐνταῦθα εἰς πληθ., καὶ σημαίνει ἅπαξ μὲν τὸ σχῆμα, μορφὴ (Ϛ', δ', 5), ἀλλαχοῦ δὲ πανταχοῦ = εἶδος, τρόπος.—*καὶ κατέστησαν*] παρατακτικὴ σύνταξις.

§ 2. *ἐκράτουν τῆς Αἰγύπτου*] τὸ *κρατῶ τινος* = εἰμὶ κρείττων τινὸς καὶ δεσπόζω-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Αἰγύπτου Ἀθηναῖοι, καὶ βασιλεὺς πέμπει ἐς Λακεδαίμονα Μεγάβαζον ἄνδρα Πέρσην χρήματα ἔχοντα, ὅπως ἐς τὴν Ἀττικὴν ἐσβαλεῖν πεισθέντων τῶν Πελοποννησίων ἀπ' Αἰγύπτου ἀπαγάγοι Ἀθηναίους. Ὡς δὲ αὐτῷ οὐ προυχώρει 3
καὶ τὰ χρήματα ἄλλως ἀνηλοῦτο, ὁ μὲν Μεγάβαζος καὶ τὰ λοιπὰ τῶν χρημάτων πάλιν ἐς τὴν Ἀσίαν ἐκομίσθη, Μεγάβυζον δὲ τὸν Ζωπύρου πέμπει ἄνδρα Πέρσην μετὰ στρατιᾶς πολλῆς· ὃς ἀφικόμενος κατὰ γῆν τούς τε Αἰγυ- 4
πτίους καὶ τοὺς ξυμμάχους μάχῃ ἐκράτησε καὶ ἐκ τῆς Μέμφιδος ἐξήλασε τοὺς Ἕλληνας καὶ τέλος ἐς Προσωπίτιδα τὴν νῆσον κατέκλησεν· καὶ ἐπολιόρκει ἐν αὐτῇ ἐνιαυτὸν καὶ ἓξ μῆνας, μέχρι οὗ ξηράνας τὴν διώρυχα καὶ παρατρέψας ἄλλῃ τὸ ὕδωρ τάς τε ναῦς ἐπὶ τοῦ ξηροῦ ἐποίησε καὶ τῆς νήσου τὰ πολλὰ ἤπειρον, καὶ διαβὰς εἷλε τὴν νῆσον πεζῇ.

τινός, *κρατῶ δέ τινα*=νικῶ. Ἐδέσποζον δὲ τῆς Αἰγύπτου ἡττηθέντος τοῦ Ἀχαιμένους (πρβλ. Διόδωρ. ΙΑ', 74, 1-4).—*Ἀθηναῖοι*] ὀβελίζει αὐτὸ ὁ Ἑρουερδήν. *καὶ βασιλεὺς πέμπει*] σύνταξις κατὰ παράταξιν ἀντὶ τοῦ «*κρατούντων... πέμπει*». βασιλεὺς δὲ=ὁ Ἀρταξέρξης.—*ἄνδρα Πέρσην*] ὁ Ἑρουερδὴν προτιμᾷ νὰ ἐλλείπωσιν αἱ λέξεις αὗται.—*ὅπως... ἀπαγάγοι*] κατ' εὐκτικήν, διότι ἐξαρτᾶται ἐκ τοῦ ἱστορικ. ἐνεστ. *πέμπει*.

§ 3. *οὐ προυχώρει*] δηλ. τὸ πρᾶγμα=τὰ κατὰ σκοπὸν οὐκ ἐγίγνετο (Σχολ.), πρβλ. Α', 111,1. Β', 56.4. Γ', 4,5.18,1.—*ἄλλως*]=μάτην (Σχολ.), πρβλ. Β', 18, 2. Δ', 36,1. Ζ', 42,5.—*πάλιν ἐκομίσθη*] συναπτέα ὁμοῦ, ὡς Α', 91,3.114,1=ἐπανῆλθον, ὁ δ' ἀόρ. παθητικ. ὡς μέσος.—*Μεγάβυζον*] ὅρα Ἡροδ. Γ', 1. Ζ', 82. Διόδωρ. ΙΑ', 74. ΙΒ', 3.—*Ζωπύρου*] εἶναι ὁ διὰ τῆς ἀκρωτηριάσεως τοῦ σώματος αὐτοῦ κυριεύσας τὴν Βαβυλῶνα (ὅρα Ἡροδ. Η', 160).—*ἄνδρα Πέρσην*] ὁ Ἑρουερδὴν προτιμᾷ νὰ ὀβελισθῶσιν αἱ λέξεις αὗται.—*μετὰ στρατιᾶς πολλῆς*] μετὰ 300 νεῶν καὶ 300,000 ἀνδρῶν (Κτησί. Περσ. 33. Διόδωρ. ΙΑ', 77), τοῦτο δ' ἐγένετο τῷ 456 π. Χ.

§ 4. *ἐκράτησε*] ἀρνεῖται τοῦτο ὁ Διόδωρος (ΙΑ', 77,1).—*ἐς Προσωπίτιδα*] πρβλ. «*ἡ δ' ἔστι μὲν ἐν τῷ Δέλτα, περίμετρος δὲ αὐτῆς εἰσὶ σχοῖνοι ἑπτά*» (Ἡροδ. Β', 41 καὶ 165 καὶ Στεφ. Βυζ.) καὶ Σχολ. «*Προσωπῖτις ἐκαλεῖτο ἡ νῦν Νικίου*», πρβλ. καὶ Διόδωρ. ΙΑ', 77, 2. Ἡ δὲ *ἐς*=ἐντὸς (πρβλ. Δ', 47,3. Ἡροδ. Ε',63), λέγεται δὲ *κατακλήω τινὰ ἔς τι* (Δ', 57, 2), ἀλλὰ καὶ *ἔν τινι* (Ξεν. Παιδ. Ζ', 6', 5).—*ξηράνας τὴν διώρυχα*] ἀντὶ τοῦ «*ξηράνας τὸ ῥεῖθρον τοῦ ποταμοῦ, διώρυξι παρατρέψας ἄλλῃ τὸ ὕδωρ*», πρβλ. καὶ «*τὸν περιῤῥέοντα ποταμὸν διώρυξι διαλαβόντες*» (Διόδωρ. ἔνθ. ἀνωτ.) καὶ «*τὸν ποταμὸν διακόψας καὶ ἀλλαχόσε τρέψας*» (Σχολ. Ἀριστοφ. Πλουτ. 178). Ἡ νῆσος αὕτη περικλείστο ἓξ τινος μέρους ὑπὸ διώρυχος (πρβλ. καὶ Δ', 109,2. Ξεν. Ἀν. Α', ζ', 15. Β', δ', 13) καὶ οὐχὶ ὑπὸ βραχίονος τοῦ Νείλου.—*καὶ παρατρέψας ἄλλῃ τὸ ὕδωρ*] ἡ μετοχὴ αὕτη εἶναι τροπικὴ τῆς μετοχῆς *ξηράνας*, συνδέεται δὲ διὰ τοῦ *καί*, ὡς τὸ *καὶ ἐλπίσας* (Α', 1,1), ἡ δὲ *παρὰ* σημαίνει τὴν εἰς τὸ ἐναντίον μεταβολήν, στροφήν=ἔξω τῆς ὁδοῦ στρέφω, παροχετεύω.—*ἐπὶ τοῦ ξηροῦ ἐποίησε*] =*ἔθηκεν, ἵστασθαι ἐπὶ ξηροῦ ἐποίησεν*, πρβλ. «*ἐν μέσῳ ποιοῦν αὐτῶν τοὺς πολεμίους*» (Α', 62, 3), τὸ δὲ «*τὸ ξηρὸν*» κεῖται ἀντ' οὐσιαστικοῦ (πρβλ. Η', 105, 1).—*ἤπειρον*] δηλ. *ἐποίησεν*. ὁ δὲ Ναβῆρος γράφει «*ἠπείρου*»=ἐπὶ ἠπείρου.—*πεζῇ*] συναπτέον τῷ *διαβὰς* καὶ οὐχὶ τῷ *εἷλεν*.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

110. Οὕτω μὲν τὰ τῶν Ἑλλήνων πράγματα ἐφθάρη ἓξ ἔτη πολεμησάντων· καὶ ὀλίγοι ἀπὸ πολλῶν πορευόμενοι διὰ τῆς Λιβύης ἐς Κυρήνην ἐσώθησαν, οἱ δὲ πλεῖστοι ἀπώλοντο. Αἴγυπτος δὲ πάλιν ὑπὸ βασιλέα ἐγένετο πλὴν Ἀμυρταίου τοῦ ἐν τοῖς ἕλεσι βασιλέως· τοῦτον δὲ διὰ μέγεθός τε τοῦ ἕλους οὐκ ἐδύναντο ἑλεῖν καὶ ἅμα μαχιμώτατοί εἰσι τῶν Αἰγυπτίων οἱ ἕλειοι. Ἰνάρως δὲ ὁ Λιβύων βασιλεύς, ὃς τὰ πάντα ἔπραξε περὶ τῆς Αἰγύπτου, προδοσίᾳ ληφθείς ἀνεσταυρώθη. Ἐκ δὲ τῶν Ἀθηνῶν καὶ τῆς ἄλλης ξυμμαχίδος πεντήκοντα τριήρεις διάδοχοι πλέουσαι ἐς Αἴγυπτον ἔσχον κατὰ τὸ Μενδήσιον κέρας, οὐκ

1 2 3 4

ὡς ὁ Σχολ. νομίζει ἑρμηνεύων 'διὰ τοῦ «διὰ πεζομαχίας»'.

Κεφ. 110. *Ἡ Αἴγυπτος δουλοῦται πάλιν ὑπὸ τῶν Περσῶν καὶ νέαν συμφορὰν οἱ Ἀθηναῖοι πάσχουσιν.*

§ 1. *ἐφθάρη*] τῷ 454 π.Χ.—*ἓξ ἔτη*] ἀπὸ τοῦ 460-454 π.Χ.—*πολεμησάντων*] κατὰ διόρθωσιν Κοβήτου, ἣν δέχεται καὶ ὁ Ἑρουερδήν, ἀντὶ τοῦ ἐν τοῖς χειρογράφ. «*πολεμήσαντα*», ἣν οἱ ἄλλοι τῶν ἑρμηνευτῶν δεχόμενοι παραβάλλουσι πρὸς τὸ «*οὐκ ἐς τοῦτο θράσεος ἀνήκει τὰ Ἑλλήνων πρήγματα*» (Ἡροδ. Ζ',9,3) καὶ πρὸς τὸ «quod species ipsa carminum docet non impetu et instinctu nec ore uno fluens» (Tacit. Ann. XIV, 16). ἄτινα καθ' ἡμᾶς οὐδεμίαν ἔχουσι δύναμιν πρὸς διατήρησιν τῆς γραφῆς «*πολεμήσαντα*». — *ὀλίγοι ἐσώθησαν*] ἄλλως ὁ Διόδωρος (ΙΑ',77,3-6) καὶ ὁ Κτησίας (Περσ. 34). —*ἀπὸ πολλῶν*] πρβλ. καὶ «*ὀλίγοι ἀπὸ πολλῶν ἐσώθησαν*» (Γ',112.8) καὶ Α'. 112,3.116,3 καὶ Πλουτ. Ἀντών. ΟΑ'. Ἀρριαν. Ἀν. Ϛ', κε', 3. Ἀντὶ τῆς *ἀπὸ* συνηθεστέρα εἶναι ἡ *ἐκ*. Εἶναι δὲ ἡ ἐμπρόθετος αὕτη γενικὴ σαφεστέρα ἔκφρασις τῆς γενικῆς διαιρετικῆς (ὅρα Γ. Ζηκίδου Συντ. § 100, σημ.).—*ἐς Κυρήνην*] πόλιν τῆς Κυρηναίας χώρας (τοῦ νῦν ὀροπεδίου τῆς *Βάρκας*), ἧς τὰ ἐρείπια καλοῦνται *Γκρεννέχ*.

§ 2. *ὑπὸ βασιλέα ἐγένετο*] ἡ *ὑπὸ* μετ' αἰτιατ. σημαίνει ὑποταγήν (πρβλ. καὶ Ϛ', 86,4), ἀνθ' ἧς συνηθεστέρα εἶναι ἡ *ὑπὸ* μετὰ δοτικῆς (Γ', 59, 2. Ζ', 64,1).—*Ἀμυρταίου*] πρβλ. Ἡροδ. Β',40. Γ',15.—*ἐν τοῖς ἕλεσι*] τὰ χθαμαλὰ μέρη τοῦ Δέλτα (πρβλ. Ἡροδ. Β',137.151. Στράβ. ΙΖ', σ. 799.802.—*διὰ μέγεθος*] ἄνευ ἄρθρου,—*καὶ ἅμα... εἰσί*] δὲν ἐννοεῖται ἐνταῦθα τὸ *ὅτι* (πρβλ. Ε', 61,4. Ζ', 47, 2. 80,1), ὅρα καὶ «penes Othonem manebant non partium studio, sed erat grandum momentum in nomine urbis» (Tacit Hist. I, 76. πρβλ. καὶ Ann. 1,62. Liv. XLIII, 19, 3).—*οἱ ἕλειοι*] = *οἱ περὶ τὰ ἕλεα οἰκέοντες* (Ἡροδ. Β', 94), τούτους δ' *ἑλειοβάτας* καλεῖ ὁ Αἰσχύλος (Πέρσ. 39), ἔνθα ὁ Σχολ. «*οἱ τὸ Αἰγύπτιον ἕλος οἰκοῦντες*».

§ 3. *τὰ πάντα ἔπραξε*]=ὃς ἦν αἴτιος πάντων τῶν γενομένων, παντὸς τοῦ κινήματος, τῆς ἀποστάσεως τῆς Αἰγύπτου.—*περὶ τῆς Αἰγύπτου*] ἡ *περὶ* σημαίνει ἀναφοράν, ἀνθ' ἧς συνηθέστερον τίθεται ἡ *περὶ* μετ' αἰτιατικῆς.—*προδοσίᾳ ληφθείς*] πρβ. Κτησίαν Περσ. 34.—*ἀνεσταυρώθη*] πρβλ. Κτησίαν Περσ.36. Σύνηθες ἦν παρὰ Πέρσαις τὸ ἀναρτᾶν ἐν σταυρῷ μάλιστα τοὺς ἀποστάτας (πρβλ. Ἡροδ. Ϛ',30).

§ 4. *καὶ τῆς ἄλλης ξυμμαχίδος*] ὅηλ. γῆς ἢ χώρας (πρβλ. Β',80,1. Ε',36,1).—*πεντήκοντα τριήρεις*] πρβλ. Ἀριστείδ. Α', σ. 390. 397.—*διάδοχοι πλέουσαι*]= *ὥστε διάδοχοι εἶναι, ὥστε διαδέχεσθαι ταῖς πρότεραις* (πρὸς ἀντικατάστασιν καὶ ἐνίσχυσιν τοῦ προτέρου στόλου), συναπτέον δὲ «*διάδοχοι πλέουσαι ἐς Αἴγυπτον*».—

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

εἰδότες τῶν γεγενημένων οὐδέν· καὶ αὐτοῖς ἔκ τε γῆς ἐπιπεσόντες πεζοὶ καὶ ἐκ θαλάσσης Φοινίκων ναυτικὸν διέφθειραν τὰς πολλὰς τῶν νεῶν, αἱ δ' ἐλάσσους διέφυγον πάλιν. Τὰ μὲν κατὰ τὴν μεγάλην στρατείαν Ἀθηναίων καὶ τῶν ξυμμάχων ἐς Αἴγυπτον οὕτως ἐτελεύτησεν.

111. Ἐκ δὲ Θεσσαλίας Ὀρέστης ὁ Ἐχεκρατίδου [υἱὸς] τοῦ Θεσσαλῶν βασιλέως φεύγων ἔπεισεν Ἀθηναίους ἑαυτὸν κατάγειν· καὶ παραλαβόντες Βοιωτοὺς καὶ Φωκέας ὄντας ξυμμάχους Ἀθηναῖοι ἐστράτευσαν τῆς Θεσσαλίας ἐπὶ Φάρσαλον. Καὶ τῆς μὲν γῆς ἐκράτουν ὅσα μὴ προϊόντες πολὺ ἐκ τῶν ὅπλων

ἔσχον] τὸ *ἔσχον*. *κατέσχον* καὶ *προσέσχον* εἶναι ναυτικαὶ λέξεις=ἐλιμένισαν (Σχολ.), προσωρμίσθησαν. Ὁ ἐνεστὼς ὁ ἁπλοῦς εἶναι ἴσχω καὶ ὁ μέλλ. *σχήσω* καὶ φέρεται ποτὲ μὲν πρὸς δοτικήν, ποτὲ δὲ πρὸς αἰτιατ. μετὰ τῆς *ἐς* (πρβλ. Β', 25, 3. Γ', 29, 1. 33, 1. 34, 1) ἢ μετὰ τῆς *κατὰ* (Β' 91, 1. Δ', 129, 3. Ϛ', 97, 1), πρβλ. καὶ «*tenere ad*» (Liv. XXI, 49, 2. XXXI, 45, 14). — *Μενδήσιον κέρας*] = τὸ Μενδήσιον στόμα τοῦ Νείλου, ὅπερ ὁ Στράβων καλεῖ «*Μενδήσιον στόμα*» (ΙΖ', σ. 802, 20), *κέρας δὲ* = στόμα, πρβλ. «*Μένδητα παρὰ κρημνὸν θαλάσσης ἕσχατον Νείλου κέρας*» (Πίνδ. παρὰ Στράβ. ΙΖ', σ. 802, 19) καὶ «*ὠκεανοῖο κέρας*» (Ἡσίοδ. Θεογ. 789) καὶ τοῦ Νείλου τὰ στόματα «*cornua*» ὀνομάζει ὁ Φλῶρος (III, 11). Ἑπτὰ δὲ εἶχε στόματα ὁ Νεῖλος — *οὐκ εἰδότες*] σχῆμα κατὰ σύνεσιν, ἐκ τῶν νεῶν εἰς τοὺς ναύτας τοῦ Θουκυδ. μεταβάντος (πρβλ. Β', 83, 5. 91, 1. Ϛ', 53, 1. Η', 101, 1). — *Φοινίκων ναυτικὸν*] ἡ προηγουμένη μετοχὴ *ἐπιπεσόντες* ἀναφέρεται καὶ εἰς τὸ *Φοινίκων ναυτικόν*». — *αἱ δ' ἐλάσσους*] = *αἱ δὲ διασωθεῖσαι, ὀλίγαι οὖσαι, ἔφυγον* (Σχολ.).

§ 5. *τὰ μὲν... ἐτελεύτησαν*] πρβλ. καὶ 138, 6. Β', 102, 6. Γ', 62, 6. — *ἐς Αἴγυπτον*] ἐξαρτᾶται ἐκ τοῦ *στρατείαν*.

Κεφ. 111. *Στρατεία Ἀθηναίων εἰς Φάρσαλον. Σικυῶνα καὶ Οἰνιάδας.*

§ 1. *υἱὸς*] ὀβελίζει τοῦτο ὁ Κόβητος. — *τοῦ Θεσσαλῶν βασιλέως*] ἐπειδὴ ἡ Θεσσαλία δὲν ὑπέκειτο μόνον ἑνὶ βασιλεῖ (πρβ. Β', 22, 3. Δ', 78), ὀρθότερον θὰ ἦτο τὸ «*τοῦ Θεσσαλῶν ταγοῦ*» (πρβλ. Πολυδ. Α', 128), πρβλ. καὶ Ξεν. Ἑλλ. Ϛ', α', 8. 18, παρ' ᾧ καὶ ῥῆμα *ταγεύω* (Ϛ', α', 19). καὶ καλεῖται ὁ *Ἐχεκρατίδης* τῷ ὄντι *Θεσσαλίας ἀρχὸς* (Ἀνακρ. Ἀποσπ. 103), ἀλλ' ὅμως καὶ οἱ Ἀλευάδαι, εἰ καὶ δὲν ἦσαν ἁπάσης τῆς Θεσσαλίας βασιλεῖς, καλοῦνται «*Θεσσαλίης βασιλέες*» (Ἡρόδ. Ζ', 6). Διὰ ταῦτα καὶ ἡ τοῦ Κλασσηνίου εἰκασία «*Φαρσαλίων*» ἀντὶ τοῦ «*Θεσσαλῶν*» εἶναι οὐχὶ ὀρθή. — *φεύγων*] = πεφευγώς, φυγὰς ὤν. — *κατάγειν*] τὸ μὲν ἐνεργ. λέγεται *κατάγω φυγάδα, καθίημι φυγάδα* (Ξεν. Ἑλλ Β', 6', 20) καὶ *κάθοδον ποιῶ φυγάδι* (Θουκ. Η', 76, 7), περὶ δὲ τοῦ καταβαίνοντος ἐκ τῆς ἐξορίας εἰς πατρίδα τὸ *κατιέναι* καὶ *κάθοδον ποιεῖσθαι* (Ἰσοκρ. 9, 28), τοῦτον δὲ ἡ πατρὶς *καταδέχεται* (Ἀνδοκ. 1, 66. 3, 31). — *ὄντας ξυμμάχους*] πρβλ. Α', 108, 3. — *ἐστράτευσαν*] τῷ 454 π. Χ. (πρβλ. Διόδωρ. ΙΑ', 83, 3 καὶ Ἀριστείδ. Λ', σ. 386). — *τῆς Θεσσαλίας*] γενικὴ διαιρετική (πρβλ. Α', 100, 3). — *ὅσα μὴ προϊόντες πολὺ*] = *ὅσα κρατεῖν ἐδύναντο μὴ προϊόντες πολὺ ἀπὸ τοῦ στρατοπέδου* ἢ κατὰ Κρυγῆρον = *ὅσα κρατεῖν ἂν μὴ προϊόντες*, πρβλ. καὶ «*φυλάσσειν δὲ καὶ τὴν νῆσον Ἀθηναίους μηδὲν ἧσσον, ὅσα μὴ ἀποβαίνοντες*» (Δ', 16, 1) καὶ «*εἰργάσθαι θ' ὅσον.. μὴ χειρὶ καίνων*» (Σοφ. Οἰδ. Τ. 347), τὸ δὲ *ὅσα ἐπιρρ.* = ὅσον. — *ἐκ τῶν ὅπλων*] = ἐκ τοῦ στρατοπέδου (πρβ. Γ', 1. 1. Ϛ', 64, 3), πρβλ. «*ἔτυχον ἐν πε-*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

(οἱ γὰρ ἱππῆς τῶν Θεσσαλῶν εἶργον), τὴν δὲ πόλιν οὐχ εἷλον, οὐδ' ἄλλο προυχώρει αὐτοῖς οὐδὲν ὧν ἕνεκα ἐστράτευσαν, ἀλλ' ἀπεχώρησαν πάλιν Ὀρέστην ἔχοντες ἄπρακτοι. Μετὰ δὲ ταῦτα οὐ πολλῷ ὕστερον χίλιοι Ἀθηναίων ἐπὶ τὰς ναῦς τὰς ἐν Πηγαῖς ἐπιβάντες (εἶχον δ' αὐτοὶ τὰς Πηγάς) παρέπλευσαν ἐς Σικυῶνα Περικλέους τοῦ Ξανθίππου στρατηγοῦντος, καὶ ἀποβάντες Σικυωνίων τοὺς προσμίξαντας μάχῃ ἐκράτησαν. Καὶ εὐθὺς παραλαβόντες Ἀχαιοὺς καὶ διαπλεύσαντες πέραν, τῆς Ἀκαρνανίας ἐς Οἰνιάδας ἐστράτευσαν καὶ ἐπολιόρκουν, οὐ μέντοι εἷλόν γε, ἀλλ' ἀπεχώρησαν ἐπ' οἴκου.

112. Ὕστερον δὲ διαλιπόντων ἐτῶν τριῶν σπονδαὶ γίγνονται Πελοποννησίοις καὶ Ἀθηναίοις πεντέτεις. Καὶ Ἑλληνικοῦ μὲν πολέμου ἔσχον οἱ Ἀθη-

ριπάτῳ ὄντες πρὸ τῶν ὅπλων Πρόξενος καὶ Ξενοφῶν» (Ξεν. Ἀν. Β', δ', 15 κτλ). —*προυχώρει*] πρβλ. Α', 109, 3. — *ἄπρακτοι*] μετ' ἐνεργ. σημασίας=οὐδὲν πράξαντες, συναπτέον δὲ τῷ «ἀπεχώρησαν».

§ 2. *Μετὰ δὲ ταῦτα οὐ πολλῷ ὕστερον*] κατὰ τὸ αὐτὸ ἔτος 454 π. Χ., πρβλ. Πλουτ. Περικλ. ΙΘ'. Διόδωρ. ΙΑ', 88, 1-3. Ὁ δὲ Ἰουστῖνος μιγνύει πλεῖστα (Γ', 6, 12-13). — *ἐπὶ τὰς ναῦς*] ὁ μὲν Πλούταρχος λέγει ταύτας 100, ὁ δὲ Διόδωρος 50. — *εἶχον.. τὰς Πηγὰς*] ὅρα Δ', 103, 4. — *Περικλέους τοῦ Ξανθίππου*] τὸ πρῶτον ἤδη ὁ Θουκ. ὀνομάζει τὸν Περικλέα μετὰ τοῦ ὀνόματος τοῦ πατρὸς αὐτοῦ κατὰ τὴν παρ' Ἕλλησι συνήθειαν, ταύτην δὲ τὴν προσλήκην ἀλλαχοῦ ὡς ἐπὶ τὸ πολὺ παραλείπει. —*τοὺς προσμίξαντας*] =συμπλακέντας (πρβλ. Β', 39, 3. Δ', 85, 7. 126, 5). —*ἐκράτησαν*] ἐν τῇ Νεμέᾳ, ὡς διηγεῖται ὁ Πλουταρχος, ὁ δὲ Διόδωρος προστίθησιν ἄλλα τινά.

§ 3. *παραλαβόντες*] ὅηλ *εἰς τὴν στρατείαν συμμάχους ὄντας* (πρβλ. § 1. Ε', 52, 2. Ζ', 57, 8). — *διαπλεύσαντες πέραν*] =*ἐπὶ τὴν ἀντιπέραν ἤπειρον κομισθέντας τῷ στόλῳ* (Πλούτ. Περικλ. ΙΘ'), πρβλ. «*ἐκ θάσου διαβαλόντες πέρην*» (Ἡροδ. Ϛ', 44, 1). —*τῆς Ἀκαρνανίας*] γενικὴ διαιρετική —*ἐς Οἰνιάδας*] οἱ *Οἰνιάδαι* εἶναι καὶ ἡ πόλις, ἥτις κεῖται παρὰ τὰς ἐκβολὰς τοῦ Ἀχελῴου περιλιμνάζοντος αὐτὴν ἐν χειμῶνι καὶ ἔχει καταντικρὺ τὰς Ἐχινάδας (Β', 102, 2-3 καὶ Πολύβ. Δ', 65), καὶ οἱ κάτοικοι (πρβλ. Β', 102, 2. Γ', 94, 1. Δ', 77, 2). πρβλ. καὶ *Δερτῖναι, Θούριοι, Δελφοὶ* κτλ. (ὅρα Λοβεκ. Παραλ. σ. 304). «*Οἰνιάδας Ἀκαρνάνων γῆν τε ἔχοντας ἀγαθὴν καὶ Ἀθηναίοις διαφόρους τὸν πάντα ὄντας χρόνον*» (Παυσαν. Δ', κε', 1). —*ἐπ' οἴκου*] πρβλ. Α', 30, 2.

Κεφ. 112. *Σπονδαὶ πενταετεῖς μεταξὺ Ἀθηναίων καὶ Πελοποννησίων. Στρατεία εἰς Κύπρον καὶ Λίγυπτον. Ἱερὸς πόλεμος.*

§ 1. *διαλιπόντων*] ἀμεταβ. =μεσολαβησάντων, ἐν τῷ μεταξὺ ὑπαρξάντων, παρελθόντων, *παραδραμόντων* (Σχολ.), πρβλ. Γ', 74, 1. —*ἐτῶν τριῶν*] ἐν τῷ διαλείμματι τῷ τριετεῖ ὁ Περικλῆς ἔπεμψε κληρούχους εἰς τὴν Χερσόνησον τῷ 457 π. Χ. κατὰ Διόδωρ ΙΑ', 88. Πρβλ. Πλούτ. Περικλ. ΙΑ'. ΙΘ'. Παυσαν. Α', κζ', 6. — *σπονδαὶ.. πενταέτεις*] αὗται ἐγένοντο τῷ 451 π. Χ., λέγεται δὲ ὅτι ἐγένοντο διὰ τοῦ Κίμωνος ἀνακληθέντος ἐκ τῆς ἐξορίας ἐπὶ τούτῳ (Ἀνδοκ. 3, 3. Αἰσχίν. 2, 172. Nep. Cim. 3, 3).

§ 2. *ἔσχον*] =*ἐπέσχον*] (Σχολ.), ὅπερ σημαίνει διακοπὴν ἐπί τινα χρόνον, ἀλλ' οὐχὶ ἐντελῆ ἀποχήν. Κεῖται δὲ ἀμεταβάτως. Ὁ δ' Ἐρουερδὴν νομίζει ὅτι ἴσως γραπτέον «*ἐπέσχον*», ὡς ὁ Σχολ. ἑρμηνεύει, πρβλ. Η', 31, 1. *Ἑλληνικὸς δὲ πόλεμος* εἶναι ὁ πόλεμος Ἀθηναίων πρὸς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ναῖοι, ἐς δὲ Κύπρον ἐστρατεύοντο ναυσὶ διακοσίαις αὐτῶν τε καὶ τῶν ξυμμάχων Κίμωνος στρατηγοῦντος. Καὶ ἑξήκοντα μὲν νῆες ἐς Αἴγυπτον ἀπ' αὐτῶν 3
ἔπλευσαν, Ἀμυρταίου μεταπέμποντος τοῦ ἐν τοῖς ἕλεσι βασιλέως, αἱ δὲ ἄλλαι
Κίτιον ἐπολιόρκουν. Κίμωνος δὲ ἀποθανόντος καὶ λιμοῦ γενομένου ἀπεχώρησαν 4
ἀπὸ Κιτίου· καὶ πλεύσαντες ὑπὲρ Σαλαμῖνος τῆς ἐν Κύπρῳ Φοινίξι καὶ Κίλιξιν ἐναυμάχησαν καὶ ἐπεζομάχησαν ἅμα, καὶ νικήσαντες ἀμφότερα ἀπεχώρησαν
ἐπ' οἴκου καὶ αἱ ἐξ Αἰγύπτου νῆες, πάλιν [αἱ] ἐλθοῦσαι, μετ' αὐτῶν· Λακεδαι- 5
μόνιοι δὲ μετὰ ταῦτα τὸν ἱερὸν καλούμενον πόλεμον ἐστράτευσαν, καὶ κρατήσαντες τοῦ ἐν Δελφοῖς ἱεροῦ παρέδοσαν Δελφοῖς· καὶ αὖθις ὕστερον Ἀθηναῖοι

Ἕλληνας.—*ἐς Κύπρον ἐστρατεύοντο*] τῷ 449 π. Χ. ὅρα Διόδ. ΙΒ', 3. Πλούτ. Κίμ. Η'. Ἰσοκρ. 8, 86. Αἰλιαν. Ποικ. Ἱστ. Ε', 10. Nep. Cim. 3, 4.

§ 3. *ἀπ' αὐτῶν*] ὀηλ. τῶν διακοσίων, περὶ δὲ τῆς ἀπὸ ἴδε 49,6. 110,1.—*Ἀμυρταίου*] ὅρα 110, 2. —*μεταπέμποντος*] μεταχειρίζεται τὸ ἐνεργητ. ἀντὶ τοῦ μέσου (πρβλ. καὶ Ἀριστοφ. Σφ. 678) καὶ θ μὲν φορὰς μεταχειρίζεται τὸ ἐνεργ. ἀντὶ τοῦ μέσου (Δ', 30,3. Ϛ', 52, 1. 74,2. 88,9. Ζ', 8,1. 15,1. 42,3. 80,5), 12 δὲ φορὰς τὸ μέσον καὶ ἅπαξ τὸ παθητ. (Α', 128, 3). —*τοῦ ἐν τοῖς ἕλεσι βασιλέως*] ὀβελίζει τὰς λέξεις ταύτας ὁ Ἐρουερδὴν ὡς ἐπαναληφθείσας ἐκ τοῦ Α', 110,2.—*Κίτιον*] *Κίτιον πόλις Κύπρου, ὅθεν ἦν Ζήνων ὁ Κιτιεύς, ὁ φιλόσοφος* (Σχολ.), πρβλ. καὶ Στράβ. ΙΔ', σ. 682.

§ 4. *Κίμωνος ἀποθανόντος*] τῷ 449 π. Χ. «*ἀπέθανε δέ, ὡς οἱ πλεῖστοι λέγουσι, νοσήσας, ἔνιοι δέ φασιν ἐκ τραύματος*» (Πλούτ. Κίμ. Ιθ'), ὁ δὲ Σχολ. «*αὐτομάτῳ θανάτῳ*» ὁ δὲ Νέπως ἐξ ἀσθενείας νομίζει ὅτι ἀπέθανεν ἐν τῇ πόλει Κιτίῳ (Cim. 3, 4), ὁ δὲ Διόδωρος πλάσσει πολλά.—*ὑπὲρ Σαλαμῖνος*] ὑπεράνω (εἰς τὰ ἀνοικτὰ τῆς θαλάσσης), πρβλ. «*ναυμαχήσαντες ὑπὲρ τοῦ λιμένος*» (Η', 95,5) καὶ «*ἀποσαλεύσας ὑπὲρ τοῦ στρατοπέδου*» (Α', 137,2).—*Σαλαμῖνος*] πόλεως κειμένης ἐν μέσῳ τῆς ἀνατολικῆς παραλίας, ὅπου Τεῦκρος προσωρμίσθη πρῶτον ὁ κτίσας Σαλαμῖνα ἐκβληθεὶς ὑπὸ τοῦ πατρὸς Τελαμῶνος (Στράβ. ΙΔ', σ. 682. Horat. Od. 1, 7, 29. Tacit. Ann. III, 62).—*ἐναυμάχησαν καὶ ἐπεζομάχησαν*] ἀμφοτέρας τὰς μάχας δέχεται ὁ Διόδωρος (ΙΒ', 3), ὁ δὲ Πλούταρχος μόνον ναυμαχίαν (Κίμ. Η'). —*ἀμφότερα*] ὅρα Α', 100. 1. —*πάλιν [αἱ] ἐλθοῦσαι*] οὕτω τὰ χειρόγρ. πλὴν τοῦ Λαυρεντ. κώδικος ἔχοντος «*πάλιν διελθοῦσαι*», καὶ τὸ μὲν ἄρθρον ὠθέλισεν ὁ Κλασσήνιος, ὁ δὲ Κράζετος γράφει «*πάλιν ἀπελθοῦσαι*», παραβάλλων πρὸς τὸ «*πάλιν ἀπῆλθον ἐπ' οἶκον*» (Α', 108, 2).—*μετ' αὐτῶν*] ὀηλ. *ἀπεχώρησαν ἐπ' οἶκου*».

§ 5. *τὸν ἱερὸν πόλεμον*] συμβάντα τῷ 448 π. Χ. ὅρα περὶ αὐτοῦ Πλουτ. Περικλ. ΚΑ'. Σχολ. Ἀριστοφ. Ὄρν. 1, 557. Πρισκιαν. XVIII, 26. *Ἱερὸς ἐκλήθη ὅτι ὑπὲρ τοῦ ἐν Δελφοῖς ἱεροῦ ἐγένετο* (Σχολ.). Εἶναι δὲ σύστοιχον ἀντικ. τοῦ *ἐστράτευσαν* (πρβλ. καὶ Ἀππιαν. Η', 2. Διόδωρ. Ιθ', 81,5) καὶ «militabitur bellum» (Horat. Epod. 1, 23).—*ἐν Δελφοῖς . . . . Δελφοῖς*] «*Δελφοὶ ὁμωνύμως ἡ πόλις καὶ οἱ ἄνδρες, ὡς Λεοντῖνοι*» (Σχολ.) καὶ «*ἀπέστησαν Δελφοὺς ἀπὸ τοῦ κοινοῦ συστήματος τῶν Φωκέων Λακεδαιμόνιοι καὶ ἐπέτρεψαν καθ' αὑτοὺς πολιτεύεσθαι*» (Στράβ. Θ', σ. 423).—*ὕστερον*] τρία ἔτη μετὰ ταῦτα (ἤτοι τῷ 445) κατὰ Φιλόχορον (παρὰ τῷ Σχολ. Ἀριστοφ. Ὄρν. 556).—*αὐτῶν*] ὀηλ. *Λακεδαιμονίων*.—*κρατήσαντες*] ὀηλ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀποχωρησάντων αὐτῶν στρατεύσαντες καὶ κρατήσαντες παρέδοσαν Φωκεῦσιν.

113. Καὶ χρόνου ἐγγενομένου μετὰ ταῦτα Ἀθηναῖοι Βοιωτῶν τῶν φευγόντων ἐχόντων Ὀρχομενὸν καὶ Χαιρώνειαν καὶ ἄλλ' ἄττα χωρία τῆς Βοιωτίας, ἐστράτευσαν ἑαυτῶν μὲν χιλίοις ὁπλίταις, τῶν δὲ ξυμμάχων ὡς ἑκάστοις ἐπὶ τὰ χωρία ταῦτα, πολέμια ὄντα, Τολμίδου τοῦ Τολμαίου στρατηγοῦντος· καὶ Χαιρώνειαν ἑλόντες ἀπεχώρουν φυλακὴν καταστήσαντες. Πορευομένοις δὲ αὐτοῖς ἐν Κορωνείᾳ ἐπιτίθενται οἵ τε ἐκ τῆς Ὀρχομενοῦ φυγάδες Βοιωτῶν καὶ Λοκροὶ μετ' αὐτῶν καὶ Εὐβοέων φυγάδες καὶ ὅσοι τῆς αὐτῆς γνώμης ἦσαν· καὶ μάχῃ κρατήσαντες τοὺς μὲν διέφθειραν τῶν Ἀθηναίων, τοὺς δὲ ζῶντας ἔλαβον. Καὶ τὴν Βοιωτίαν ἐξέλιπον Ἀθηναῖοι πᾶσαν, σπονδὰς ποιησάμενοι

τοῦ ἐν Δελφοῖς ἱεροῦ.—*παρέδοσαν Φωκεῦσιν*] ἀλλὰ μετὰ ταῦτα πάλιν ἀνέλαβον αὐτὸ οἱ Δελφοὶ (πρβλ. Α', 118, 3. 121, 2. Ε', 18, 2).

Κεφ. 113. *Ἅττα τῶν Ἀθηναίων ἐν τῇ Κορωνείᾳ.*

§. 1. *χρόνου ἐγγενομένου μετὰ ταῦτα*] =μετὰ ταῦτα χρόνου ἐγγενομένου (Ἰακώβσιος), πρβλ. Α', 114, 1. 118, 1, κατὰ δὲ Κρυγῆρον τὸ *μετὰ ταῦτα* συναπτέον τῷ *ἐγγενομένου* (=παρεμπεσόντος, πρβλ. Δ', 111, 2. Η', 9, 2).—*Βοιωτῶν τῶν φευγόντων*] *τινὲς γὰρ Βοιωτῶν μὴ θέλοντες ὑπακούειν τοῖς Ἀθηναίοις κατέλαβον ταῦτα τὰ χωρία ταχέως* (Σχολ.) μετὰ τὴν ἐν Οἰνοφύτοις μάχην. Ἦσαν δ' οὗτοι ἀριστοκρατικοὶ Βοιωτοὶ ἐξορισθέντες ὑπὸ τῶν δημοκρατικῶν (Ἀριστ. Πολ. Β', 6).—*Ὀρχομενόν*] θηλυκῶς παρὰ Θουκυδίδῃ (§ 2), ἀρσενικῶς δὲ παρὰ Δημοσθένει (5, 22), ἀλλὰ καὶ παρὰ Θουκυδίδῃ (Γ', 87, 4 καὶ Δ', 76, 3). ἦν δὲ πόλις τῆς Βοιωτίας καὶ ἐκαλεῖτο πρότερον *Ὀρχομενὸς ὁ Μινύειος* (Ἰλ. Β', 511. Θουκ. Δ', 76, 3), ὕστερον δὲ *Βοιώτιος* (Θουκυδ. Δ', 76, 3), πρβλ. καὶ Στράβ. Θ', 416. νῦν δὲ *Σκριπού*.—*Χαιρώνειαν*] ἥτις πρότερον ἐκαλεῖτο *Ἄρνη* (Παυσαν. Θ', μ', 5), ὠνομάσθη δὲ οὕτως ἀπό τινος *Χαίρωνος*, οὐχὶ διότι ἵδρυσε πρῶτος αὐτήν (Στεφ. Βυζ.), ἀλλὰ διότι μετέβαλεν ἀπὸ νοσώδους εἰς ὑγιεινήν (Πλουταρχ. Πολυπρ. 1), νῦν δὲ *Κάπραινα*.—*ἐστράτευσαν*] τῷ 446 π. Χ. πρβλ. Διόδωρ. ΙΒ', ς', 2. Πλουτ. Περικλ. Η'.—*χιλίοις*] πρβλ. Ξενοφ. Ἀπομ. Γ', ε', 4. Πλουτ. Περικλ. Η'.—*τῶν ξυμμάχων ὡς ἑκάστοις*]=*ὡς ἑκάστοις συνέβη στρατεῦσαι.*—*Τολμίδου*] ὅρα Α', 108, 5.—*καταστήσαντες*] ὁ δ' Ἐρουερδὴν καὶ ὁ Μεινέκιος γράφουσιν «*ἐγκαταστήσαντες*», πρβλ. καὶ «*φρουρὰν ἐγκαταλιπόντες ἀνεχώρησαν*» (Α', 115, 3). ἀλλὰ κατὰ Πόππον εὐκόλως δύναται νὰ ἐννοηθῇ τὸ «*ἐκεῖ*» (πρβλ. Γ', 45, 2).

§ 2. «*Ἐν Κορωνείᾳ*] ἐν *Ἀλιαρτίᾳ* (Παυσ. Δ', κζ', 6), ἐν *Λεβαδείᾳ* (Ξεν. Ἀπομ. Γ', ε', 4), μετὰ δὲ τοῦ Θουκυδίδου συμφωνεῖ ὁ Ἰσοκράτης (16, 28), ὁ Πλάτων (Ἀλκ. σ. 112, γ). Διόδωρος (ΙΒ', 6, 2) καὶ Πλούταρχος (Περικ. Η'). *Ἡ δὲ Κορώνεια ἐγγὺς ταῦ Ἑλικῶνός ἐστιν ἐφ' ὑψους ἱδρυμένη* (Στράβ. Θ', σ. 411) καὶ πρὸς δυσμὰς τῆς Κωπαΐδος λίμνης, ἴσως παρὰ τὸ νῦν *Καμάρι*.—*Λοκροὶ*] *Λοκροὶ οἱ Ὀπούντιοι* (Σχολ.), πρβλ. 108, 3.—*ὅσοι τῆς αὐτῆς γνώμης ἦσαν*] εἶχον τὸ αὐτὸ πολιτικὸν φρόνημα, ἦσαν ἀριστοκρατικοί.—*διέφθειραν*] ἐν οἷς καὶ τὸν Τολμίδην (Διόδωρ. ΙΒ', 6, 2. Περικλ. Η'. Παυσ. Α', κζ', 6).—*ζῶντας ἔλαβον*]=ἐζώγρησαν.

§ 3. *πᾶσαν*] πλὴν τῶν Πλαταιῶν, αἵτινες καὶ μετὰ ταῦτα συνεμάχουν Ἀθηναίοις.—*ἐφ' ᾧ*] ὅρα Α', 103, 1.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐφ' ᾧ τοὺς ἄνδρας κομιοῦνται. Καὶ οἱ φεύγοντες Βοιωτῶν κατελθόντες** καὶ οἱ 4
ἄλλοι πάντες αὐτόνομοι πάλιν ἐγένοντο.

114. Μετὰ δὲ ταῦτα οὐ πολλῷ ὕστερον Εὔβοια ἀπέστη ἀπὸ Ἀθηναίων. 1
Καὶ ἐς αὐτὴν διαβεβηκότος ἤδη Περικλέους στρατιᾷ Ἀθηναίων, ἠγγέλθη αὐτῷ
ὅτι Μέγαρα ἀφέστηκε καὶ Πελοποννήσιοι μέλλουσιν ἐσβάλλειν ἐς τὴν Ἀττικὴν
καὶ οἱ φρουροὶ Ἀθηναίων διεφθαρμένοι εἰσὶν ὑπὸ Μεγαρέων, πλὴν ὅσοι ἐς Νί-
σαιαν ἀπέφυγον· ἐπαγαγόμενοι δὲ Κορινθίους καὶ Σικυωνίους καὶ Ἐπιδαυρίους
ἀπέστησαν οἱ Μεγαρῆς. Ὁ δὲ Περικλῆς πάλιν κατὰ τάχος ἐκόμιζε τὴν στρα-
τιὰν ἐκ τῆς Εὐβοίας. Καὶ μετὰ τοῦτο οἱ Πελοποννήσιοι τῆς Ἀττικῆς ἐς Ἐ- 2
λευσῖνα καὶ Θριῶζε ἐσβαλόντες ἐδῄωσαν Πλειστοάνακτος τοῦ Παυσανίου βα-
σιλέως Λακεδαιμονίων ἡγουμένου, κἀς τὸ πλέον οὐκέτι προελθόντες ἀπεχώρη-
σαν ἐπ' οἴκου. Καὶ Ἀθηναῖοι πάλιν ἐς Εὔβοιαν διαβάντες Περικλέους στρα- 3

§ 4. *κατελθόντες*] μετ' αὐτὸ φαίνεται ὅτι ἐξέπεσον λέξεις τινές, «*πάλιν ἐπολίτευον*» (Κλασσήνιος), «*ἐλευθέραν τὴν πατρίδα ἀνέλαβον*» (Πόππος). — *οἱ ἄλλοι πάντες*] οἱ Λοκροί, οἱ Φωκεῖς καὶ πάντες οἱ ἄλλοι οἱ ἐν κεφ. 108 μνημονευόμενοι ὡς ὑποταχθέντες ὑπὸ τῶν Ἀθηναίων.

Κεφ. 114. *Ἡ Εὔβοια καὶ τὰ Μέγαρα ἀφίστανται Ἀθηναίων καὶ οἱ Λακεδαιμόνιοι εἰσβάλλουσιν εἰς Ἀττικήν. Ἡ Εὔβοια ὑπατάσσεται στρατηγοῦντος τοῦ Περικλέους.*

§ 1. *Μετὰ δὲ ταῦτα*] ὅηλ. τῷ 446 π. Χ.—*Εὔβοια ἀπέστη*] πρβλ. Διόδωρ. ΙΒ, 7. Πλούτ. Περικλ. ΚΒ' κ. ἑ.—*διαβεβηκότος Περικλέους.. ἠγγέλθη αὐτῷ*] πολλάκις τίθεται γενικὴ ἀπόλυτος ἀντὶ δοτικῆς (ὅρα Ἀσωπ. Π. Β', 476, § 81. Γραμμ. Κυνηγήρ. § 494, c).—*στρατιᾷ*] = σὺν στρατιᾷ. —*αὐτῷ*] τῷ *Περικλεῖ δηλονότι* (Σχολ.). — *ἀφέστηκε*] τῶν *Ἀθηναίων δηλονότι* (Σχολ.).—*ἐς Νίσαιαν*] ὅρα Α', 103, 4.—*ἐπαγαγόμενοι δὲ*] ἡ μετοχὴ οὕτω κειμένη λαμβάνει τὴν ἔννοιαν κυρίου ῥήματος = *πρὶν δὲ ἀποστῆναι, ἐπηγάγοντο Κορινθίους*, περὶ δὲ τοῦ μέσ. *ἐπάγομαί τινα* ὅρα Α', 3, 2. — *πάλιν . . ἐκόμιζε*] = ἐπανήγαγε (πρβλ. Α', 109, 3). ὁ δὲ παρατατ. διὰ τὴν διάρκειαν τῆς πράξεως.

§ 2. *μετὰ τοῦτο*] = μετὰ τὴν ἀπόστασιν τῶν Μεγαρέων, ἣν οἱ Πελοποννήσιοι προσεδόκων, καὶ οὐχὶ μετὰ τὸ *πάλιν κομίζειν τὴν στρατιάν*.—*τῆς Ἀττικῆς*] γενικὴ διαιρετική (πρβλ. 100, 3).—*Θριῶζε*] = *εἰς τὸ Θριάσιον πεδίον, ὡς Ἀθήναζε* (Σχολ.), πρβλ. καὶ (Θριὼ) *Θριῶθεν*, ὡς *(Πυθὼ) Πυθῶθεν, Κριῶθεν* (ὅρα Ἡρῳδιαν. Τ. Α', σ. 499—501), ἀλλὰ *Θριᾶσιν, Θρία* ἢ *Θριὼ* ἦν ὄνομα δήμου τῆς Ἀττικῆς κειμένου παρὰ τὸν κόλπον τῆς Ἐλευσῖνος καὶ ἐγγὺς τῆς πόλεως ταύτης.—*ἐδῄωσαν*] ὅηλ. τὴν Ἐλευσῖνα καὶ τὸ Θριάσιον πεδίον (πρβλ. Α', 5.1), ὁ δὲ Κλασσήνιος ἄνευ λόγου ἰσχυροῦ ὑποπτεύει τὸ ῥῆμα.—*τοῦ Παυσανίου βασιλέως*] πρβλ. σημ. Α', 107, 2.—*κἀς τὸ πλέον*] = καὶ ἐς τὸ πλέον, κατὰ διόρθωσιν Ἐρουερδήνος, πρβλ. *ἐς τὸ πλέον οὐκέτι προελθών*» (Β', 21, 1) καὶ «*ἐς τὸ πλεῖον οὐκέτ' ἐπηκολούθουν*» (Δ', 128, 2) = καὶ περαιτέρω. Περὶ δὲ τῆς αἰτίας τῆς μὴ περαιτέρω προχωρήσεως ὅρα Β', 21, 1. Ε', 16, 1. Πλούτ. Περικλ. ΚΒ'.

§ 3. *κατεστρέψαντο*] πρβλ. «*Περικλέους στρατηγοῦντος κατεστρέψασθαι πᾶσάν φησι Φιλόχορος καὶ τὴν μὲν ἄλλην ἐπὶ ὁμολογίᾳ κατασταθῆναι, Ἑστιαίας δὲ ἐξοικίσαντας αὐτοὺς Ἀθηναίους τὴν γῆν σχεῖν*» (Σχολ. Ἀριστοφ. Νεφ. 213).—*ὁμο-*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τηγοῦντος κατεστρέψαντο πᾶσαν, καὶ τὴν μὲν ἄλλην ὁμολογίᾳ κατεστήσαντο, Ἑστιαιᾶς δὲ ἐξοικίσαντες αὐτοὶ τὴν γῆν ἔσχον.

115. Ἀναχωρήσαντες δὲ ἀπὸ Εὐβοίας οὐ πολλῷ ὕστερον σπονδὰς ἐποιήσαντο πρὸς Λακεδαιμονίους καὶ τοὺς ξυμμάχους τριακοντούτεις, ἀποδόντες Νίσαιαν καὶ Πηγὰς καὶ Τροιζῆνα καὶ Ἀχαίαν· ταῦτα γὰρ εἶχον Ἀθηναῖοι Πελοποννησίων.

Ἔκτῳ δὲ ἔτει Σαμίοις καὶ Μιλησίοις πόλεμος ἐγένετο περὶ Πριήνης· καὶ οἱ Μιλήσιοι ἐλασσούμενοι τῷ πολέμῳ παρ' Ἀθηναίους ἐλθόντες κατεβόων τῶν Σαμίων. Ξυνεπελαμβάνοντο δὲ καὶ ἐξ αὐτῆς τῆς Σάμου ἄνδρες ἰδιῶται νεω-

λογίᾳ κατεστήσαντο] = κατέστησαν ἑαυτοῖς (πρὸς τὸ ἑαυτῶν συμφέρον διηυθέτησαν) διὰ συνθήκης. Πάντα δὲ σχεδὸν τὰ χειρόγραφα μετὰ τοῦ Φιλοχόρου *κατεστήσαντο* ἔχουσιν, ὅπερ στηρίζεται διὰ τοῦ Α', 76, 1. Γ', 18,1. 35,2. Δ', 107,1. Ἡ ἄλλη ἀνάγνωσις «*ὁμολογίᾳ παρεστήσαντο*» (πρβλ. καὶ Α', 29,5) δὲν φαίνεται ἀληθής· διότι τότε ὤφειλε νὰ εἴπῃ «*κατεστρέψαντο πᾶσαν, τὴν μὲν ἄλλην ὁμολογίᾳ, Ἑστιαιᾶς δὲ*» κτλ. Τίνι τρόπῳ δὲ οἱ Ἀθηναῖοι κατεστήσαντο τὰς Εὐβοϊκὰς πόλεις δεικνύει Ἀττική τις ἐπιγραφὴ περὶ Χαλκιδέων (C. I. A. IV, 27, α').—*Ἑστιαιᾶς*] *Ἑστίαια πόλις Εὐβοίας, ἥτις νῦν Ὠρεὸς καλεῖται* (Σχολ.) πρβλ. Η', 95, 7 παρὰ τὸν ποταμὸν Κάλλαντα (νῦν Ξηριᾶν) καὶ οὐχὶ μακρὰν τοῦ νῦν *Ξηροχωρίου*. — *ἐξοικίσαντες*] πρὸς τῷ Διοδώρῳ καὶ Πλουτάρχῳ ἀναφέρει τοῦτο καὶ ὁ Θεόπομπος παρὰ Στράβωνι (Γ', σ. 445) καὶ Διονύσιος ὁ Ἁλικαρνασσεὺς (σ. 845) = ἀναστήσαντες, ἐκδιώξαντες (Ϛ',75,2) —*αὐτοὶ ἔσχον*] οἱ Ἀθηναῖοι κατέσχον (κατέλαβον) τὴν γῆν αὐτῶν πέμψαντες δισχιλίους κληρούχους (Στράβ. Γ', σ. 445), ἐκαλοῦντο δὲ οἱ νέοι κάτοικοι *Ἑστιαιῆς* (Ζ',57,2) καὶ *Ὠρῖται*.

Κεφ. 115. *Σπονδαὶ τριακονταετεῖς μεταξὺ Ἀθηναίων καὶ Σπαρτιατῶν καὶ ἀπόστασις Σαμίων.*

§ 1. *σπονδὰς ἐποιήσαντο*] αὗται ἐγένετο τὸ ἔαρ τοῦ 445 π. Χ. (Διόδωρ. ΙΒ', 7. Παυσαν. Ε', κγ', 3). — *τοὺς ξυμμάχους*] *τῶν Λακεδαιμονίων* (Σχολ.).—*ἀποδόντες*] περὶ τῆς μετοχῆς μετὰ τὸ *ὁμολογεῖν, σπονδὰς ποιεῖσθαι ὅρα* σημ. 101, 3. — *Ἀχαΐαν*] ὁ Κρυγῆρος καὶ ὁ Κόβητος γράφουσιν «*Ἀλιᾶς*», οἷς ἠκολούθησε καὶ ὁ Ἑρουερδὴν (πρβλ. Α',105,1), ἀλλ' ἡ φράσις αὕτη εὑρηται καὶ ἐν Δ', 21, 3, ὁ δ' Ἀριστείδης ὁ ῥήτωρ τετράκις ἀναφέρει ταῦτα (Α', σ. 157.169.398. Β', σ. 149). Ἡ δ' *Ἀχαΐα* ἦν ἡ ἐπαρχία ἡ εἰς τὸ βόρειον τῆς Πελοποννήσου, ὡς φαίνεται ἐκ τοῦ Ἀριστείδου (Α', σ. 157) λέγοντος «*πᾶν τὸ Ἀχαϊκόν*», ἢ μέρος αὐτῆς. Εἶχον δὲ οἱ Ἀθηναῖοι τοὺς *Ἀχαιοὺς* συμμάχους (πρβλ. Α' 111, 3).—*Πελοποννησίων*] ἐκ τοῦ *ταῦτα*, πρβλ. *ἃ σφῶν, ἀλλήλων εἶχον*» (Δ', 109,1. Ε',39,2).

§ 2. *ἕκτῳ δὲ ἔτει*] *μετὰ τὰς τριακοντούτεις δηλονότι σπονδὰς* (Σχολ.), ἤτοι τῷ 440 π. Χ. ἐπὶ ἄρχοντος Μορυχίδου (ὅρα Σχολ. Ἀριστοφ. Σφ. 283) καὶ οὐχὶ ἐπὶ ἄρχοντος Τιμοκλέους τῷ 441 π. Χ., ὡς νομίζει ὁ Διόδωρος (ΙΒ', 27). — *περὶ Πριήνης*] *πλησίον γὰρ ἦν τῆς Μιλήτου καὶ ἐζήτουν αὐτὴν ἔχειν οἱ Μιλήσιοι* (Σχολ.)· περὶ τοῦ πολέμου τούτου ὅρα Σχολ. Ἀριστοφ. Σφῆκ. 283. Διόδ. ΙΒ', 27. Πλουτ. Περικλ. ΚΔ'.—*ἐλασσούμενοι*] =ἡττώμενοι.—*κατεβόων*] ὅρα Α', 67, 1. Ε',45,4.—*ξυνεπελαμβάνοντο*]=*ἐβοήθουν τοῖς Μιλησίοις* (Σχολ.), πρβλ. Β', 8, 4= *ἅμα εἶχοντο τοῦ ἔργου*.—*ἄνδρες ἰδιῶται*] πρβλ. «*ἀνδρὸς ἰδιώτου*» (Πλάτων Γοργ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τερίσαι βουλόμενοι [τὴν πολιτείαν]. Πλεύσαντες οὖν Ἀθηναῖοι ἐς Σάμον ναυσὶ 3
τεσσαράκοντα δημοκρατίαν κατέστησαν καὶ ὁμήρους ἔλαβον τῶν Σαμίων πεντήκοντα μὲν παῖδας, ἴσους δὲ ἄνδρας, καὶ κατέθεντο ἐς Λῆμνον καὶ φρουρὰν ἐγκαταλιπόντες ἀνεχώρησαν. Τῶν δὲ Σαμίων ἦσαν γάρ τινες οἳ οὐχ ὑπέμενον, 4
ἀλλ' ἔφυγον ἐς τὴν ἤπειρον, ξυνθέμενοι τῶν ἐν τῇ πόλει τοῖς δυνατωτάτοις
καὶ Πισσούθνῃ τῷ Ὑστάσπου ξυμμαχίαν, ὃς εἶχε Σάρδεις τότε, ἐπικούρους τε
ξυλλέξαντες ἐς ἑπτακοσίους διέβησαν ὑπὸ νύκτα ἐς τὴν Σάμον. Καὶ πρῶτον 5

526,γ'. Πολιτ. 578,γ') καὶ «ἄνδρα στρατηγὸν» (Α', 74, 1), ὁ δὲ Κρυγῆρος ὑποπτεύει τὸ *ἰδιῶται*, ὁ δὲ Ἐρουερδὴν προτιμᾷ νὰ γραφῇ «*ἰδίᾳ*», πρβλ. «*καὶ αὐτῶν Μυτιληναίων ἰδίᾳ ἄνδρες κατὰ στάσιν*» (Γ',2,2). Οὗτοι οἱ ἄνδρες ἦσαν δημοκρατικοὶ θέλοντες τὴν ὑπὸ τῶν Ἀθηναίων ἐπιβολὴν τῆς δημοκρατίας· διότι ἡ Σάμος διῳκεῖτο ἀριστοκρατικῶς.—*τὴν πολιτείαν*] =ἀριστοκρατίαν. Ἐπειδὴ δὲ τὸ *νεωτερίζειν* εἶναι ἀμετάβατον, δὲν δύναται δὲ καὶ τὸ *πολιτείαν* νὰ εἶναι αἰτιατικὴ τῆς ἀναφορᾶς γραπτέον ἢ «*περὶ τὴν πολιτείαν*» (πρβλ. Πλάτ. Πολιτ. 424,δ') ἢ «*νεοχμῶσαι τὴν πολιτείαν*» κατὰ Μεινέκιον ἢ ὀβελιστέον τὸ «*τὴν πολιτείαν*» κατὰ Ἐρουερδῆνα, ὅπερ ὀρθότερον· διότι καὶ ἐν τῷ λήμματι τοῦ Σχολ. δὲν ὑπάρχει καὶ τὸ *νεωτερίζειν* περὶ μεταβολῆς τῆς πολιτείας κατ' ἐξοχὴν λέγεται (πρβλ. Ε',14,3.34,2) =*θέλοντες καινοτομῆσαι τὴν πολιτείαν δημοκρατίαν ποιήσαντες* (Σχολ.), ἐκ δὲ τῆς ἑρμηνείας ταύτης φαίνεται ὅτι παρεισέδυ καὶ εἰς τὸ κείμενον.

§ 3. *πλεύσαντες οὖν Ἀθηναῖοι*] περὶ τῆς νομιζομένης αἰτίας τοῦ πράγματος ὅρα Πλουτ. Περικλ. ΚΔ' καὶ Ἀρποκρ. καὶ Σουΐδ. ἐν λ. *Ἀσπασία*. — *κατέθεντο ἐς Λῆμνον*] ἡ Λῆμνος ἦν Ἀθηναίων ἀποικία, οἱ δ' Ἀθηναῖοι συνήθιζον ἐν νήσοις νὰ φυλάττωσι τοὺς ὁμήρους καὶ αἰχμαλώτους (Γ',72,1). Τὸ δὲ *κατέθεντο* εἶναι μέσον ὠφελείας=κατέθεσαν ἑαυτοῖς. — *ἐγκαταλιπόντες*] *ἐς τὴν Σάμον* (Σχολ.).

§ 4. *Τῶν δὲ Σαμίων*] καθ' ἕλξιν ἐτέθη εἰς γενικὴν ἐξαρτωμένην ἐκ τοῦ *τινες* ἀντὶ ὀνομαστικῆς=*οἱ δὲ Σάμιοι, ἦσαν γάρ τινες τῶν Σαμίων οἵ* κτλ. ὅρα καὶ Α',72,1. —*οὐχ ὑπέμενον*] *τὴν δημοκρατίαν* (Σχλ.), ἀλλ' ἐπειδὴ τοῦτο κεῖται μακράν, ὀρθότερον νὰ ἑρμηνευθῇ κατὰ Κρυγῆρον διὰ τοῦ *ἔμενον ἐκεῖ* (remanebant).—*ξυνθέμενοι*] =*συμφωνήσαντες τοῖς μὴ θέλουσι δημοκρατεῖν* (Σχολ. γράφε *δημοκρατεῖσθαι* ἢ *δημοκρατίαν*).—*τοῖς δυνατωτάτοις*]=αὐτῶν οἵτινες ἐν τῇ πόλει ἦσαν δυνατώτατοι (Η', 21. 63. 3), τοῖς ἀριστοκρατικοῖς τῆς Σάμου.—*Πισσούθνῃ*] τῷ σατράπῃ τῆς Λυδίας (πρβλ. Γ',31,1).—*ξυμμαχίαν*] οἱ ἑρμηνευταὶ νομίζοντες ὅτι ἀναφέρεται μόνον εἰς τὸ «*ξυνθέμενοι Πισσούθνῃ*» καὶ οὐχὶ εἰς τὸ «*ξυνθέμενοι... τοῖς δυνατωτάτοις*» ἑρμηνεύουσι διὰ τοῦ «*συνθέμενοι μετὰ τοῦ Πισσούθνου βοήθειαν, ἣν οὗτος αὐτοῖς ἐκ συμμαχίας παρεῖχεν ἄν*» καὶ παραβάλλουσι πρὸς τὸ «*πορευθέντων εἰς Σάρδεις πρὸς Πισσούθνην περὶ βοηθείας*» (Διόδωρ. ΙΒ',27,3)· διότι τὸ *συντίθεσθαι* δύναται νὰ λέγηται περὶ πράγματος, ὅπερ εἰς τῶν δύο τῷ ἑτέρῳ ὀφείλει νὰ παρέχῃ, πρβλ. «*συντίθεται προδοσίην*» (Ἡρόδ. Η',128), «*συνθέμενος αὐτῷ μισθόν*» (Πλάτ. Γοργ. 520,γ'), ἀλλ' ὁ Κόβητος ὀβελίζει τὴν λέξιν «*ξυμμαχίαν*».—*τότε*] ὡς καὶ τὸ πέμπτον ἔτος τοῦ Πελοπονν. πολέμου (Γ',31, 1), μετὰ ταῦτα δὲ ἀπέστη τοῦ βασιλέως (Η'.5.5).—*ὑπὸ νύκτα*]=ἐν καιρῷ νυκτὸς =*λαθόντες νυκτὸς εἰσῆλθον* (Σχολ.).

§ 5. *τῷ δήμῳ*] *τῶν Σαμίων* (Σχολ.).—*τῶν πλείστων*] αὐτοῦ (τοῦ δήμου), *τῶν*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μὲν τῷ δήμῳ ἐπανέστησαν καὶ ἐκράτησαν τῶν πλείστων, ἔπειτα τοὺς ὁμήρους ἐκκλέψαντες ἐκ Λήμνου τοὺς αὑτῶν ἀπέστησαν, καὶ τοὺς φρουροὺς τοὺς Ἀθηναίων καὶ τοὺς ἄρχοντας οἳ ἦσαν παρὰ σφίσιν ἐξέδοσαν Πισσούθνῃ, ἐπί τε Μίλητον εὐθὺς παρεσκευάζοντο στρατεύειν. Ξυναπέστησαν δὲ αὐτοῖς καὶ Βυζάντιοι.

116. Ἀθηναῖοι δὲ ὡς ἤσθοντο, πλεύσαντες ναυσὶν ἑξήκοντα ἐπὶ Σάμου ταῖς μὲν ἑκκαίδεκα [τῶν νεῶν] οὐκ ἐχρήσαντο (ἔτυχον γὰρ αἱ μὲν ἐπὶ Καρίας ἐς προσκοπὴν τῶν Φοινισσῶν νεῶν οἰχόμεναι, αἱ δ' ἐπὶ Χίου καὶ Λέσβου περιαγγελοῦσαι βοηθεῖν), τεσσαράκοντα δὲ ναυσὶ καὶ τέσσαρσι Περικλέους δεκάτου αὐτοῦ στρατηγοῦντος ἐναυμάχησαν πρὸς Τραγίᾳ τῇ νήσῳ Σαμίων ναυσὶν

δημοτῶν (Σχολ.), ὀλιγώτερον δὲ σαφῶς λέγει ὁ Διόδωρος «*ἐκράτησαν τῆς Σάμου*» (ΙΒ', 27, 3). Ὁ Κρυγῆρος εἰκάζει νὰ γραφῇ «*τῶν πολλῶν*». — *τοὺς ὁμήρους ἐκκλέψαντες*] κατὰ τὸν Λαυρεντ. κώδικα, ᾧ τινι συμφωνεῖ καὶ Διόδωρος (ΙΒ', 27, 3) καὶ Πλούταρχος (Περικλ. ΚΕ'), τῶν ἄλλων χειρογρ. ἐχόντων «*κλέψαντες*». Ὁ Κόβητος προτιμᾷ τὸ «*ἐκκλέψαντες*· διότι τὸ μὲν *κλέπτειν* λέγεται περὶ πραγμάτων = κρύφα ἁρπάζειν (furtim surripere), τὸ δὲ *ἐκκλέπτειν* (πρβλ. Ἡρόδοτ. Β', 115. Ἀριστοφ. Ἀχ. 524. Ἀντιφῶν 5, 38. Πλάτων. Κρίτ. 44, ε') περὶ προσώπων = κρύφα ὑπεξάγειν (clam subducere). — *ἀπέστησαν*] *τῶν Ἀθηναίων δηλονότι* (Σχολ.). — *τοὺς ἄρχοντας*] δηλ. *τῶν Ἀθηναίων*, ἤτοι τοὺς ἀρχηγοὺς τῆς φρουρᾶς καὶ μᾶλλον τὰς ἀρχὰς τῶν Ἀθηναίων. Ἐκαλοῦντο δὲ οὗτοι *ἐπίσκοποι καὶ φύλακες* (Ἁρποκρατ. ἐν λ. *ἐπίσκοπος* καὶ Θουκ. Δ', 104, 4). — *παρὰ σφίσιν*] = *παρὰ Σαμίοις* (πρβλ. Α', 20, 1). — *στρατεύειν*] *μετ' αὐτοῦ* (Σχολ.). — *ξυναπέστησαν αὐτοῖς*] = σὺν αὐτοῖς (Σαμίοις) ἀπέστησαν.

Κεφ. 116. *Οἱ Σάμιοι πολιορκοῦνται ὑπ' Ἀθηναίων καὶ ἡττῶνται.*

§ 1. *ἐπὶ Σάμου*] πρβ. Α', 30, 2. Ὁμοίως καὶ «*ἐπὶ Καρίας, ἐπὶ Χίου*». — *ταῖς μὲν ἑκκαίδεκα*] ῥηθέντος πρότερον ὅλου τοῦ ἀριθμοῦ τὸ μέρος δύναται νὰ ἐκφέρηται συναρθρως, ὡς μικρὸν ὕστερον καὶ εἴκοσι» (πρβλ. καὶ Η', 39, 3). — *τῶν νεῶν*] τόσον εὐκόλως ἐννοεῖται (πρβλ. Η', 39, 3), ὥστε περιττὸν εἶναι νὰ προστεθῇ καὶ ὀρθῶς προτιμᾷ ὁ Ἑρουερδὴν νὰ ὀβελισθῇ. — *οὐκ ἐχρήσαντο*] *κατὰ τῆς Σάμου* (Σχολ.). — *ἐπὶ Καρίας*] συναπτέον τῷ «*οἰχόμεναι*». — *ἐς προσκοπὴν*] πρὸς τὸ παρατηρῆσαι, ἐξετάσαι = *προσκεψόμεναι τὰς Φοινίσσας ναῦς*· «*ἤκουον γὰρ ὅτι Φοίνικες κατ' αὐτῶν ἔρχονται*» (Σχολ.). — *περιαγγελοῦσαι*] κατ' εἰκασίαν τοῦ Ἑρουερδῆνος ἀντὶ τοῦ *περιαγγέλλουσαι*, ὅπερ ὅμως ὁ Στάλλιος (Quaest. Gramm. σ. 17) διατηρεῖ, ἐνταῦθα δὲ φαίνεταί μοι καλλίων ὁ μέλλων ἀνταποκρινόμενος εἰς τὸ «*ἐς προσκοπὴν*» σκοπὸν σημαῖνον = «*αἱ δ' ἐπὶ Χίου καὶ Λέσβου (ἔτυχον οἰχόμεναι) περιαγγελοῦσαι βοηθεῖν*». Τὸ δὲ περιαγγέλλειν λέγεται ἰδίᾳ ἐπὶ προσκλήσεως συμμάχων (πρβ. Β', 10, 1). — *δεκάτου αὐτοῦ*] μετὰ τῶν 9 ἄλλων συστρατήγων ὑπῆρχε καὶ Σοφοκλῆς ὁ ποιητής (ὅρα Ἀθήν. Γ', σ. 604, δ'. Στράβ. ΙΔ', σ. 638), τοὺς ἓξ δὲ τῶν ἄλλων ὀνομάζει ὁ Σχολ. τοῦ Ἀριστείδου (σ. 182), τοὺς δὲ δύο ἄλλους ἐλλείποντας προσέθηκεν ὁ Οὐϊλαμοβίτζιος ἐκ τοῦ Μαρκιανοῦ κώδικος. — *Τραγίᾳ*] *αὕτη κεῖται πλησίον τῆς Σάμου* (Σχολ.) καὶ παρὰ τὴν Ἰωνίαν (ὅρα Πλουτ. Περικλ. ΚΕ'. Στρβ. ΙΔ', σ. 635. Plin. Hist. Nat. Ε', 37. 135). — *Σαμίων ναυσὶν*] πρότερον τὸ *ναυσὶν* εἶναι ὁστικὴ ὀργανική, ἐνταῦθα δὲ δο-

ἑβδομήκοντα, ὧν ἦσαν αἱ εἴκοσι στρατιώτιδες (ἔτυχον δὲ αἱ πᾶσαι ἀπὸ Μιλήτου πλέουσαι), καὶ ἐνίκων Ἀθηναῖοι. Ὕστερον δὲ αὐτοῖς ἐβοήθησαν ἐκ τῶν 2
Ἀθηνῶν νῆες τεσσαράκοντα καὶ Χίων καὶ Λεσβίων πέντε καὶ εἴκοσι, καὶ ἀπο-
βάντες καὶ κρατοῦντες τῷ πεζῷ ἐπολιόρκουν τρισὶ τείχεσι τὴν πόλιν καὶ ἐκ
θαλάσσης ἅμα. Περικλῆς δὲ λαβὼν ἑξήκοντα ναῦς ἀπὸ τῶν ἐφορμουσῶν ᾤχετο 3
κατὰ τάχος ἐπὶ Καύνου καὶ Καρίας, ἐσαγγελθέντων ὅτι Φοινίσσαι νῆες ἐπ'
αὐτοὺς πλέουσιν· ᾤχετο γὰρ καὶ ἐκ τῆς Σάμου πέντε ναυσὶ Στησαγόρας καὶ
ἄλλοι ἐπὶ τὰς Φοινίσσας.

117. Ἐν τούτῳ δὲ οἱ Σάμιοι ἐξαπιναίως ἔκπλουν ποιησάμενοι ἀῤῥάκτῳ 1
τῷ στρατοπέδῳ ἐπιπεσόντες τάς τε προφυλακίδας ναῦς διέῤῥειραν καὶ ναυμα-
χοῦντες τὰς ἀνταναγομένας ἐνίκησαν, καὶ τῆς θαλάσσης τῆς καθ' ἑαυτοὺς ἐκρά-

τικὴ ἀντιπεριποιητικὴ=πρὸς Σαμίων ναῦς (πρβλ. καὶ Δ', 11,2. 129,4. Ζ',50,3).—*στρατιώτιδες*] *στρατιώτας ἄγουσαι, τοὺς μέλλοντας πεζομαχεῖν* (Σχολ.), πρβλ. Ϛ',43. Λύται ἐκαλοῦντο καὶ *ἀπλιταγωγοὶ* (Ϛ',25,2. 31,3 κτλ.), αἱ δὲ *ἱππέας ἄγουσαι ἱπταγωγοὶ* (Ϛ', 43).—*ἀπὸ Μιλήτου*] πρβλ. Α',115,5, εἰς ἣν εἶχον μεταβιβάσῃ στρατόν. — *ἐνίκων Ἀθηναῖοι*] ὁ Ἐρουερδὴν ὀβελίζει τὸ *Ἀθηναῖοι* σχόλιον νομίζων.

§ 2. *τρισὶ τείχεσι*] τὰ τρία ταῦτα τειχίσματα τῶν Ἀθηναίων ἦσαν ὡρισμένα πρὸς τὸ περιζῶσαι τὴν πόλιν ἐκ τριῶν μερῶν τῶν ἀπεχόντων τῆς θαλάσσης, διὸ προστίθεται πρὸς ἀντίθεσιν καὶ τὸ «*καὶ ἐκ θαλάσσης ἅμα*». Ὁρᾶ καὶ Πλουτ. Περικλ. ΚΖ'.

§ 3. *ἀπὸ τῶν ἐφορμουσῶν*] = *τῶν πολιορκουσῶν τὴν Σάμον* (Σχολ.), πρβλ. Α', 112, 3.—*ἐπὶ Καύνου καὶ Καρίας*] συχνότατα συνάπτεται τὸ μέρος μετὰ τοῦ ὅλου διὰ τοῦ *καί*, *τέ*, ἵνα ἰδίᾳ τὸ μέρος ἐξαρθῇ, πρβλ. «*ἀπὸ τοῦ Βουδόρου καὶ τῆς Σαλαμῖνος*» (Γ', 51, 2) καὶ «*οὐ Δαρεῖον οὐδὲ Πέρσας ἐπισείων*» (Πλουτ. Θεμιστ. Α',2), πρβλ. καὶ Α',66. Γ',38,2.109,2. 111,3. Δ',36,1.69,2. Ζ',62,2.83,3. Ὁρᾶ Ἀσωπ. Π. Β', σ. 891, § 100. Κυννήρ. Γραμμ. § 601, 7. Καλεῖται δὲ τοῦτο ὑπὸ τῶν γραμματικῶν σχῆμα *ἐν διὰ δυοῖν*.

Καῦνος δὲ ἦν πόλις τῆς Καρίας πρὸς νότον.—*ἐσαγγελθέντων*] γενικὴ ἀπόλυτ. ἀπροσώπως = ἐσαγγελιῶν γενομένων (ὁρᾶ Γ. Ζηκίδ. Συντ. § 455,3. Γραμμ. Κυνν. § 486, σημ. 2. Ἀσωπ. Π. Β', σ. 474, § 75,3. Εἰσ. εἰς Σύντ. σ. 598, § 46. Ἀλλ' ὁ Βάδαμος πρωτιμᾷ νὰ γραφῇ «*ἐσαγγελθὲν αὐτῷ ὅτι*». — *ἐπ' αὐτούς*]=*κατ' αὐτῶν, ἐὼν Ἀθηναίων* (Σχολ.), πρβλ. Α', 95, 2.—*Στησαγόρας*] *Στησαγόρας Σάμιος ἦν* (Σχολ.) στρατηγός. — *καὶ ἄλλοι*] = μετ' ἄλλων.—*ἐπὶ τὰς Φοινίσσας*] = πρὸς τὸ προσκαλέσαι τὰς Φοινίσσας ναῦς.

Κεφ. 117. *Μετ' ἄλλας δύο ναυμαχίας ἀλίσκεται ἡ Σάμος.*

§ 1. *Ἐν τούτῳ*] τῷ 440 π. Χ.—*ἔκπλουν ποιησάμενοι*]=ἐκπλεύσαντες, εἶναι χρονικὴ μετοχὴ τοῦ *ἐπιπεσόντες* (πρβλ. Α', 50, 4).—*ἀῤῥάκτῳ τῷ στρατοπέδῳ*]=οὐχὶ ὠχυρωμένῳ σταυρώμασιν (πρβλ. Ϛ', 66,2. Ζ',25,5.38,2). — *τὰς προφυλακίδας ναῦς*]=*τὰς πρὸ τῶν ἄλλων ὁρμούσας* (Σχολ.) καὶ τὴν φυλακὴν ἐχούσας. — *τὰς ἀνταναγομένας*]=τὰς ἐναντίον ἀναπλεούσας, ὁρᾶ περὶ τοῦ *ἀνάγεσθαι* Α', 29,4. Ὁ Ἐρουερδὴν γράφει «*τὰς ἀνταναγομένας*».—*ἐνίκησαν*] ὁρᾶ Πλούταρ. Περικλ. ΚϚ', ὅστις λέγει ὅτι στρατηγὸς τῶν Σαμίων ἦν ὁ Μέλισσος, μαθητὴς τοῦ φιλοσόφου Παρμενίδου (πρβλ. καὶ Πλουτ. Θεμιστοκλ. Β', 3).—*τῆς καθ' ἑαυτούς*] = τῆς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τησαν ἡμέρας περὶ τέσσαρας καὶ δέκα καὶ ἐσεκομίσαντο καὶ ἐξεκομίσαντο ἃ ἐβούλοντο. Ἐλθόντος δὲ Περικλέους πάλιν ταῖς ναυσὶ κατεκλήσθησαν. Καὶ ἐκ τῶν Ἀθηνῶν ὕστερον προσεβοήθησαν τεσσαράκοντα μὲν αἱ μετὰ Θουκυδίδου καὶ Ἄγνωνος καὶ Φορμίωνος νῆες, εἴκοσι δὲ αἱ μετὰ Τληπολέμου καὶ Ἀντικλέους, ἐκ δὲ Χίου καὶ Λέσβου τριάκοντα. Καὶ ναυμαχίαν μέν τινα βραχεῖαν ἐποιήσαντο οἱ Σάμιοι, ἀδύνατοι δὲ ὄντες ἀντισχεῖν ἐξεπολιορκήθησαν ἐνάτῳ μηνὶ καὶ προσεχώρησαν ὁμολογίᾳ, τεῖχός τε καθελόντες καὶ ὁμήρους δόντες καὶ ναῦς παραδόντες καὶ χρήματα τὰ ἀναλωθέντα κατὰ χρόνους ταξάμενοι ἀποδοῦναι. Ξυνέβησαν δὲ καὶ Βυζάντιοι ὥσπερ καὶ πρότερον ὑπήκοοι εἶναι.

118. Μετὰ ταῦτα δὲ ἤδη γίγνεται οὐ πολλοῖς ἔτεσιν ὕστερον τὰ προὶ-

ἀπέναντι ἑαυτῶν, τῆς ἔμπροσθεν.—*ἐκράτησαν*] ἀόριστος σημαίνων διάρκειαν (πρβλ. Α', 13, 6), ἐπίσης κατόπιν τὸ «ἐσεκομίσαντο» καὶ «ἐξεκομίσαντο». — *περὶ τέσσαρας*]—περίπου τέσσαρας.—*ἃ ἐβούλοντο*] δηλ. *ἐσκομίσασθαι καὶ ἐκκομίσασθαι*, οἵτινες ἀόριστοι εἶναι μέσοι ὠφελείας, ὁ δ' Ἐρυθρὸν προτιμᾷ τὸ «ὅσα ἐβούλοντο».

§ 2. *πάλιν ταῖς ναυσὶ*] συναπτέαι αἱ λέξεις τῷ «*κατεκλήσθησαν*» = διὰ τῶν νεῶν, κατὰ θάλασσαν (πρβλ. 116, 2). Τὸ δὲ *ἐλθεῖν* μόνον ἄνευ τοῦ *πάλιν* σημαίνει πολλάκις τὸ *ἐπανελθεῖν* (πρβλ. Α', 136, 1. Δ', 65, 3).—*Θουκυδίδου*] υἱὸς τοῦ Μελησίου ἐκ τοῦ δήμου Ἁλωπεκῆς καὶ σύγχρονος τοῦ Περικλέους (πρβλ. Πλουτάρχ. Περικλ. ΙΑ'), ὅστις ἐξορισθεὶς τῷ 444 π. Χ. ἀνεκλήθη πιθανῶς περὶ τὸ 440.—*Ἄγνωνος καὶ Φορμίωνος*] ὅρα περὶ αὐτῶν Β', 58. 95, 3. Β', 29. 68. 80. 84. 90.—*Τληπολέμου*] οὗτος δὲν εἶναι ἀλλαχόθεν γνωστός.—*Ἀντικλέους*] οὗτος δύναται νὰ εἶναι ὁ αὐτὸς τῷ ἀναφερομένῳ ἐν ἐπιγραφῇ 35, 1 (παρὰ Kirchhof. p. 17). Οἱ στρατηγοὶ οὗτοι ἐπειδὴ δὲν ἀναφέρονται μεταξὺ τῶν ὀνομάτων τῶν 8 στρατηγῶν, οὓς ὁ Σχολ. Ἀριστείδου (σ. 182) μνημονεύει, φαίνεται ὅτι εἶναι 5 στρατηγοὶ ἐκ τῶν ἐν τῷ ἑπομένῳ ἔτει ἐκλεχθέντων.

§ 3. *βραχεῖαν*] ἄνευ σπουδαιότητος (πρβλ. Α', 78, 1. 140, 4-5 κτλ.).—*ἀντισχεῖν*] ὁ Ναβῆρος γράφει «*ἀντίσχειν*».—*ἐξεπολιορκήθησαν*] ὁ Περικλῆς ἐν τῇ πολιορκίᾳ ταύτῃ μετεχειρίσατο καὶ πολεμικὰς μηχανὰς καινὰς τοῦ μηχανικοῦ Ἀρτέμωνος, κριοὺς καὶ χελώνας, κτλ. (ὅρα Διόδωρ. ΙΒ', 28. Πλούταρ. Περικλ. ΚΖ'. Plin. Hist. Nat. VII, 56).—*ἐνάτῳ μηνί*] οὗτος ὁ χρόνος ὑπολογιστέος ἀπὸ τῆς ἐν Τραγίᾳ συναφθείσης μάχης—ἐν τῷ τέλει τοῦ ἐνάτου μηνὸς (τοῦ ἔτους 439 π. Χ.), ἢ κατ' ἄλλους τὸ φθινόπωρον τοῦ 440 — *προσεχώρησαν ὁμολογίᾳ*] *τοῖς Ἀθηναίοις* (Σχολ.), εἶναι δὲ δοτικὴ ὀργανική.—*καθελόντες*] πρβλ. 101, 3. Εἶναι δὲ οἱ ὅροι τῆς ὁμολογίας.—*χρήματα τὰ ἀναλωθέντα*] 200 τάλαντα λέγει ὁ Διόδωρος (ΙΒ', 28, 3), ἅτινα εἶναι ὀλιγώτερα τοῦ δέοντος· διότι 1000 λέγει ὁ Ἰσοκράτης (15, 111), 1200 δὲ ὁ Νέπως (Timoth. 1, 2).—*κατὰ χρόνους*] εἰς προθεσμίας ὡρισμένας. «*οὐδὲ γὰρ εὐπόρουν ἅθροον ἀποτῖσαι τὸ πᾶν*» (Σχολ.). — *ταξάμενοι*] ὅρα Α', 99, 3.—*ὥσπερ καὶ πρότερον*] *ἦσαν* (Σχλ.) πρβλ. Α', 94 — *ξυνέβησαν . . εἶναι*] ἄνευ τοῦ *ὥστε* (πρβλ. καὶ Β[illegible]. Δ', 54, 2).

Κεφ. 118. *Σύνδεσις πρὸς τὰ παρασχόντα ἀφορμὴν τοῦ Πελοπον. πολέμου. Οἱ Λακεδαιμόνιοι ἐρωτῶσι τὸ μαντεῖον τῶν Δελφῶν.*

§ 1. *οὐ πολλοῖς ἔτεσιν ὕστερον*] μόνον μετὰ 3 ἢ 4 ἔτη, διότι τὰ περὶ τὴν Ἐπίδα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ρημένα, τά τε Κορκυραϊκὰ καὶ τὰ Ποτειδαιατικὰ καὶ ὅσα πρόφασις τοῦδε τοῦ πολέμου κατέστη. Ταῦτα δὲ ξύμπαντα ὅσα ἔπραξαν οἱ Ἕλληνες πρός τε ἀλλήλους καὶ τὸν βάρβαρον ἐγένετο ἐν ἔτεσι πεντήκοντα μάλιστα [μεταξὺ τῆς Ξέρξου ἀναχωρήσεως καὶ τῆς ἀρχῆς τοῦδε τοῦ πολέμου] ἐν οἷς Ἀθηναῖοι τήν τε ἀρχὴν ἐκρατεστέραν κατεστήσαντο καὶ αὐτοὶ ἐπὶ μέγα ἐχώρησαν δυνάμεως. Οἱ δὲ Λακεδαιμόνιοι αἰσθόμενοι οὐτε ἐκώλυον, εἰ μὴ ἐπὶ βραχύ, ἡσύχαζόν τε τὸ πλέον τοῦ χρόνου, ὄντες μὲν καὶ πρὸ τοῦ μὴ ταχεῖς ἰέναι ἐς τοὺς πολέμους, εἰ μὴ ἀναγκάζοιντο, τὸ δέ τι καὶ πολέμοις οἰκείοις ἐξειργόμενοι, πρὶν δὴ καὶ ἡ δύναμις τῶν Ἀθηναίων σαφῶς ἤρετο καὶ τῆς ξυμμαχίας αὐτῶν ἥπτοντο. Τότε δὴ οὐκέτι ἠρεμοῦντες οὐδὲ ἀνεκτὸν ποιούμενοι, ἀλλὰ πανδημεὶ ἐσβάντες καὶ τοῖς ξυμμάχοις ἅμα ἐπιόντες, ὅπως μὴ ἐπὶ πλέον αὐξηθῇ, τάς τε πόλεις τὰς μὴ ἐθελούσας ἐξεπολέμωσαν καὶ τἄλλα ἐπεκόσμησαν ὅπως ἐκείνοις ἔσται ἐπιτήδεια.

μνον συνέβησαν τῷ 436 π. Χ. (πρβλ. Α', 25, 2. 115, 2).—*τά τε Κορκυραϊκὰ καὶ τὰ Ποτειδαιατικὰ*] ἀπὸ κεφ. 24-65. — *καὶ ὅσα*] κεφ. 67-88.—*πρόφασις*]=αἰτία (ὅρα Α', 23, 6).

§ 2. *Ταῦτα ξύμπαντα*] ἀπὸ κεφ. 89-117. —*πρός τε ἀλλήλους*] τοῦτο σαφέστερον ἐξηνέχθη ἐν 97, 1. — *ἐγένετο*] ἀόριστος διαρκείας δηλωτικὸς (Α', 13, 6).—*πεντήκοντα*] ἀπὸ τοῦ 480—431 π. Χ.=49, διὰ τοῦτο προσέθηκε τὸ *μάλιστα* = περίπου, σχεδὸν (ὅρα Α', 13, 3). τὴν δὲ διήγησιν ταύτην οἱ γραμματικοὶ καλοῦσι «*πεντηκονταετίαν*».—*ἐν οἷς*] *ἔτεσιν* (Σχολ.), ὁ δὲ Κροάζετος «*πράγμασι μᾶλλον ἢ ἔτεσιν* (πρβλ. 89, 1)».—*τὴν ἀρχὴν*] τὴν ἐξωτερικὴν αὐτῶν δύναμιν, τὴν ἡγεμονίαν ἐπὶ τῶν ἄλλων Ἑλληνικῶν λαῶν.—*ἐγκρατεστέραν*] = *ἰσχυροτέραν* (Σχολ.). — *κατεστήσαντο*] = κατέστησαν ἑαυτοῖς.—*αὐτοί*] οἱ Ἀθηναῖοι καθ' ἑαυτοὺς διὰ τῆς ἀναπτύξεως τῆς ἑαυτῶν δυνάμεως ἀσχέτως πρὸς τὴν ἑαυτῶν ἀρχὴν ἐπὶ τῶν συμμάχων καὶ ὑπηκόων.—*ἐπὶ μέγα . . δυνάμεως*] = εἰς μέγαν βαθμὸν δυνάμεως (πρβλ. Β', 97, 5), πρβλ. καὶ «*ἐπὶ πλεῖστον ἀφικνεῖσθαι ἀνδραγαθίας*» (Ξεν. Λακ. Πολ. δ', 2). — *αἰσθόμενοι*] ἐνδοτικὴ μετοχή. Ἡμεῖς δὲ προτιμῶμεν νὰ γραφῇ «*αἰσθανόμενοι*». — *ἐπὶ βραχὺ*]=ἐπ' ὀλίγον, παραδείγματα δὲ τούτου τὸ Α', 90. 114. — *ἡσύχαζόν τε*] μετὰ τὸ *οὔτε* ἐτέθη τὸ *τέ*, διότι ἡ πρότασις εἶναι θετική. — *τὸ πλέον τοῦ χρόνου*] ὁ Κρυγῆρος θέλει νὰ γραφῇ «*τὸν πλέονα τοῦ χρόνου*», ὡς «*τοῦ χρόνου τὸν πλεῖστον*» (Α', 30, 3), πρβλ. ὅμως «*καὶ τῆς στρατιᾶς τὸ πλέον*» (Γ', 35, 2) καὶ «*τὸ πλεῖστον τῆς ἡμέρας*» (Ξεν. Παιδ. Α', 6', 6).—*ὄντες*] αἰτιολ. μετοχή.—*μὴ ταχεῖς*] μετ' αἰτιολογικὴν μετοχὴν σπανίως τίθεται τὸ *μή* (ὡς 77, 3. Δημ. 39, 35) παρὰ τοῖς Ἀττικοῖς συγγραφεῦσιν. Ὁ Κρυγῆρος νομίζει ὅτι ἐτέθη τὸ *μὴ* τῇ ἐπιδράσει τοῦ ἀπαρεμφάτου, ὁ δὲ Κλασσήνιος νομίζει ὅτι διὰ τοῦ *μὴ* γίνεται ἡ ἀπάρνησις σφοδροτέρα, ταῦτα δ' ἀμφότερα ἀπορρίπτει ὁ Πόππος, ὁ δὲ Ἀρνόλδος νομίζει ὅτι μετὰ τὸ τοῦ ἐξέπεσε τὸ *οὐ*—*ὄντες πρὸ τοῦ σὺ μὴ ταχεῖς*, ὁ δὲ Κροάζετος νομίζων ὅτι σημαίνει γενικὴν σχέσιν τῆς αἰτίας λέγει ὅτι εἶναι, ὡς εἰ ἔλεγεν «*ὡς εἰκὸς μὲν ἦν καὶ πρὸ τοῦ μὴ ταχεῖς ὄντας*». Καθ' ἡμᾶς ἐτέθη τὸ *μὴ* διὰ τὴν ὑποθετικὴν ἔννοιαν, διότι ἡ φράσις=*ἔχοντες τὸ μὴ ταχὺ ἐν τῷ ἰέναι* = εἴ τι μή ἐστι ταχύ, πρβλ. «*τὸ μὴ μυθῶδες*» (Α', 22, 4). — *εἰ μὴ ἀναγκάζοιντο*] εὐκτικὴ σημαίνουσα ἐπανάληψιν = «*εἰ μὴ ἐξ ἀνάγκης κινηθεῖεν*» (Σχολ.).—*τὸ δέ τι*]=ἐξ ἄλλου δὲ μέρους κἄπως, μέρος δέ πως (ὅρα 107, 4).—*ἐξειργόμενοι*] =διότι καὶ ἕνεκα οἰκείων πολέμων ἐξείργοντο τοῦ κωλύειν τοὺς Ἀθηναίους. *Οἰκείους* δὲ *πολέμους* ἐννοεῖ τὰς τῶν Εἱλώτων ἀποστάσεις (πρβλ. Α', 101). — *πρὶν δὴ*] = ἕως δή = μέχρι οὗ τέλος (πρβλ. Α', 132, 5. Γ', 29, 1).—*σαφῶς*] εἰς

Δημοσία Κεντρική Βιβλιοθήκη Βέροιας

δὲ οὐκέτι ἀνασχετὸν ἐποιοῦντο, ἀλλ' ἐπιχειρητέα ἐδόκει εἶναι πάσῃ προθυμίᾳ καὶ καθαιρετέα ἡ ἰσχύς, ἣν δύνωνται, ἀραμένοις τόνδε τὸν πόλεμον. Αὐτοῖς μὲν οὖν τοῖς Λακεδαιμονίοις διεγνώσθη λελύσθαι τε τὰς σπονδὰς καὶ τοὺς Ἀθηναίους ἀδικεῖν, πέμψαντες δὲ ἐς Δελφοὺς ἐπηρώτων, τὸν θεὸν εἰ πολεμοῦσιν ἄμεινον ἔσται, ὁ δὲ ἀνεῖλεν αὐτοῖς, ὡς λέγεται, κατὰ κράτος πολεμοῦσι νίκην ἔσεσθαι, καὶ αὐτὸς [ἔφη] ξυλλήψεσθαι καὶ παρακαλούμενος καὶ ἄκλητος.

119. Αὖθις δὲ τοὺς ξυμμάχους παρακαλέσαντες ψῆφον ἐβούλοντο ἐπαγαγεῖν εἰ χρὴ πολεμεῖν. Καὶ ἐλθόντων τῶν πρέσβεων ἀπὸ τῆς ξυμμαχίας καὶ ξυνόδου γενομένης οἱ τε ἄλλοι εἶπον ἃ ἐβούλοντο, κατηγοροῦντες οἱ πλείους τῶν Ἀθηναίων καὶ τὸν πόλεμον ἀξιοῦντες γενέσθαι, καὶ οἱ Κορίνθιοι δεηθέντες μὲν καὶ κατὰ πόλεις πρότερον ἑκάστους ἰδίᾳ ὥστε ψηφίσασθαι τὸν πόλεμον, δὲ-

σημεῖον, ὑπὲρ νὰ μὴ δύνηται νὰ ἀγνοῆται. — *τῆς ξυμμαχίας*] = τῶν συμμάχων (πρβλ. καὶ Α', 119.130,2), ὁ δὲ Ναβὴρος γράφει «τῆς ξυμμαχίδος» (Β',7,2).—*ἀνασχετὸν*]=ἀνεκτόν.—*ἐποιοῦντο*]=ἠγοῦντο (πρβλ. Α', 102, 4).—*ἐπιχειρητέα*]=οὐδ. πληθ.=ἐπιχειρητέον=δέον ἐπιχειρεῖν(ὅρα Α', 72, 1).—*καθαιρετέα*] θηλ. γένους.—*ἣν δύνωνται*] δηλ. *καθαιρεῖν τὴν ἰσχύν*.—*ἀραμένοις*] ἀποδίδονται εἰς τὸ *σφίσιν* ἐννοούμενον ἐν τῷ *ἐδόκει*, εἶναι δὲ τροπικὴ μετοχὴ = ἀναλαβοῦσιν ἐφ' ἑαυτῶν. —*τόνδε*] λέγεται οὐχὶ ἐκ μέρους τῶν Λακεδαιμονίων, ἀλλὰ τοῦ Θουκυδίδου.

§ 3. *Αὐτοῖς μὲν οὖν*] συνεχίζει τὸν διακοπέντα λόγον ἐν τῷ Α', 87, 2. Τὸ δὲ αὐτοῖς τίθεται κατ' ἀντίθεσιν πρὸς τοὺς ἀπόντας συμμάχους. —*διέγνωστο*] κεῖται ἀπροσώπως=*διαγνώμη ἐγεγόνει* (ὅρα Α', 87,6).—*ἀδικεῖν*]=ἠδικηκέναι.—*εἰ πολεμοῦσιν ἄμεινον ἔσται*] ἀντ' ἀπαρεμφάτου ἐπὶ πολλῶν ἀπροσώπων ῥημάτων καὶ σπανιώτερον προσωπικῶν τίθεται μετοχὴ = εἰ ἄμεινον σφίσιν ἔσται πολεμεῖν (ὅρα Γ. Ζηκίδ. Συντ. § 438,7. Κυνν. Γράμμ. § 482,9. Ἀσωπ. Εἰσ. εἰς Σύντ. σ. 615, § 84).—*ἀνεῖλεν..ξυλλήψεσθαι*] τὰ αὐτὰ φέρονται καὶ ἐν Β', 54, 4. Τὰ ἀπαρέμφατα ἐξαρτῶνται ἐκ τοῦ *ἀνεῖλεν*. —*κατὰ κράτος*] =ὅλαις δυνάμεσι (ὅρα Α', 64, 3) συναπτέον δὲ τῷ «*πολεμοῦσι*» καὶ οὐχὶ τῷ «*νίκην ἔσεσθαι*», ὡς ὁ Σχολ. νομίζει.—*ἔφη*] ὀβελίζει αὐτὸ ὁ Κόβητος, ὅπερ καὶ ὁ Πλούταρχος δὲν ἔχει (Πυθ. Χρηστ. Ιθ'), τὰ δ' ἀπαρέμφ. ἐκ τοῦ *ἀνεῖλεν*. —*καὶ παρακαλούμενος καὶ ἄκλητος*] πρβλ. καὶ Horat. Od. II,18,40 «vocatus atque non vocatus», ὁ δὲ Ναβὴρος γράφει «ἀπαράκλητος», ὅπερ καὶ παρὰ Πλουτάρχῳ φέρεται (Πυθ. Χρ. Ιθ'). πρβλ. καὶ Δίων. Κάσσ. ΝΖ', 7., ἀλλ' ὅμως λέγεται *οὐκ ἄκλητοι παρακληθέντες δέ*» (Ϛ', 87,2).

Κεφ. 119. *Σύσκεψις τῶν Πελοποννησ. συμμάχων ἐν Σπάρτῃ περὶ τοῦ ζητήματος τοῦ πολέμου.*

Αὖθις δέ] πρώτη σύγκλησις τῶν συμμάχων ἐμνημονεύθη ἤδη (87,4).—*τοὺς ξυμμάχους παρακαλέσαντες*] πρβλ. Διόδωρ. ΙΒ',41,1.—*ψῆφον ἐπαγαγεῖν*] πρβ. σημ. Α',87,4.—*ἀπὸ τῆς ξυμμαχίας*] *ἀντὶ τοῦ ἀπὸ τῶν ξυμμάχων* (Σχολ.), πρβλ. 118,2.—*οἱ πλείους*] παράθεσις εἰς τὸ «*οἵ τε ἄλλοι*». — *ἑκάστων*] σαναπτέον «*δεηθέντες ἑκάστων (τῶν ξυμμάχων) κατὰ πόλεις*».—*ἰδίᾳ*] ἐνισχύει τὴν ἔννοιαν τοῦ «*ἑκάστων*». —*ὥστε*] μετὰ τὸ *δεηθέντες* εἶναι ὡς περιττὸν (πρβλ. 49,7. Η',86,8), ὡς «*πείθει ὥστε*» (Γ', 73, 1), ἀλλὰ τὸ

διότες περὶ τῇ Ποτειδαίᾳ μὴ προδιαφθαρῇ, παρόντες δὲ καὶ τότε, καὶ τελευταῖοι ἐπελθόντες ἔλεγον τοιάδε.

120. «Τοὺς μὲν Λακεδαιμονίους, ὦ ἄνδρες ξύμμαχοι, οὐκ ἂν ἔτι αἰτιασαίμεθα ὡς οὐ καὶ αὐτοὶ ἐψηφισμένοι τὸν πόλεμόν εἰσι καὶ ἡμᾶς ἐς τοῦτο νῦν ξυνήγαγον. Χρὴ γὰρ τοὺς ἡγεμόνας τὰ ἴδια ἐξ ἴσου νέμοντας τὰ κοινὰ προσκοπεῖν, ὥσπερ καὶ ἐν ἄλλοις ἐκ πάντων προτιμῶνται. Ἡμῶν δὲ ὅσοι μὲν μετὰ τοῦ ὥστε ἀπαρέμφατον σημαίνει· τὸ ἐπ' αὐτῷ τούτῳ τῷ σκοπῷ (ὅρα Γ. Ζηκίδ. Συντ. § 559).—*ψηφίσασθαι*] διὰ ψήφου ἐπικυρῶσαι (Σχολ.). — *δεδιότες περὶ τῇ Ποτειδαίᾳ μὴ*] ἡ μετοχὴ εἶναι αἰτιολ. τοῦ «*δεηθέντες*» = διότι ἐδέδισαν μὴ ἡ Ποτείδαια. — *προδιαφθαρῇ*] μὴ πρὸ τοῦ εἰσβαλεῖν αὐτοὺς εἰς τὴν Ἀττικὴν διαφθαρῇ (Σχολ.).—*παρόντες*] = παραγενόμενοι ἐς τὴν Λακεδαίμονα πρβλ. Γ', 3,4. 69,2. Δ', 124,4. 107,3. Ζ', 1,2. Η', 17, 3), ὁ δ' Οὔλριχος κακῶς γράφει «*παριόντες*».—*ἐπελθόντες*] πρβλ. σημ. Α', 72,3. —*ἔλεγον*] ὅρα Α', 72,3.

Κεφ. 120. *Δημηγορία Κορινθίων. Ἔπαινος τῶν Λακεδαιμονίων, διότι συνεκάλεσαν τοὺς συμμάχους πρὸς τὸ ψηφίσασθαι τὸν πόλεμον, καὶ αἰτίαι δι' ἃς ὀφείλουσιν ἀναλαβεῖν τὸν πόλεμον.*

ὁ δ' Ἐρουερδὴν ὀβελίζει τὸ «ἐκ τοῦ ἱεροῦ» = πίστιν αὐτῷ διδόντος τῆς ἐκ τοῦ ἱεροῦ ἀναστάσεως, τὸ δὲ *ἀνάστασις* = βεβαία καὶ ἀσφαλὴς ἀπὸ παντὸς κινδύνου ἀναχώρησις = διδόντος αὐτῷ ἐχέγγυα πίστεως ὅτι ἔξεστιν αὐτῷ ἀναστῆναι (ἀπιέναι) ἐκ τοῦ ἱεροῦ ἄνευ βλάβης.—*τὰ πρασσόμενα*] ὅηλ. *ὑπ' αὐτοῦ πρὸς τὸν βασιλέα.*

Κεφ. 134. *Ὁ Παυσανίας μέλλων συλλαμβάνεσθαι καταφεύγει εἰς τὸ ἱερὸν τῆς Χαλκιοίκου καὶ ἐκπολιορκηθεὶς λιμῷ ἀποθνήσκει μετὰ τὴν ἐξαγωγὴν αὐτοῦ ἔτι ἔμπνουν ὄντος ἀπὸ τοῦ ναοῦ.*

§ 1. *ἀπῆλθον*] ὅηλ. *εἰς τὴν πόλιν.*—*βεβαίως*] συναπτέον τῷ «*εἰδότες*».—*τὴν ξύλληψιν ἐποιοῦντο*] ἀποπειρατικὸς παρατατικὸς = ἐβούλοντο τὴν σύλληψιν ποιεῖσθαι, συλλαμβάνειν (πρβλ. Α', 105, 7. Β', 4, 1. Γ', 24, 3).—*αὐτὸν*] *τὸν Παυσανίαν* (Σχολ.)—*ἐν τῇ ὁδῷ*] οὐχὶ ἐν τῇ ὁδοιπορίᾳ (in itinere. Nep. Paus. 5, 1), ἀλλ' ἐν ὁδῷ (πλατείᾳ) τῆς πόλεως, ὡς φαίνεται καὶ ἐκ τοῦ «*ἐν τῇ πόλει*» καὶ ἐκ τοῦ ναοῦ, εἰς ὃν κατέφυγεν.—*ὡς εἶδε*] = ὡς εἶδε τὸ πρόσωπον ἑνὸς τῶν ἐφόρων προσιόντος (= ἰόντος πρὸς αὐτόν.—*γνῶναι*] ἐκ τοῦ *λέγεται αὐτόν.*—*ἐφ' ᾧ ἐχώρει*] = *οὗ χάριν* (Σχολ.) = ἐγνώρισε τὸ πρᾶγμα, οὗ ἕνεκα ἐπορεύετο, ὁ δὲ Κόβητος, ᾧ τινι ἀκολουθεῖ καὶ ὁ Ἐρουερδήν, ἔγραψεν «*ἐφ' ὃ ἐχώρει*».—*ἄλλου δὲ*] *ἐφόρου δηλονότι ἀφανῶς νεύσαντος, ὅστις ἦν φίλος τῷ Παυσανίᾳ* (Σχολ.), ὁ δὲ Νέπως (Paus. 5, 4) δὲν διακρίνει δύο ἐφόρους.—*ἀφανεῖ*] = κρυφίῳ, ὅηλ. *τοῖς ἄλλοις.*—*καὶ δηλώσαντος*] ὅηλ. *τὸ μέλλον πραχθήσεσθαι.*—*εὐνοίᾳ*] = ἕνεκα εὐνοίας πρὸς τὸν Παυσανίαν.—*τὸ ἱερὸν τῆς Χαλκιοίκου*] ὅρα Α', 128, 2.—*προκαταφυγεῖν*] = *φθάσαι καταφυγόντα*, ὡς ὁ Λυκοῦργος (Λεωκρ. 128) περὶ αὐτοῦ λέγει «*ἐπειδὴ (Παυσανίας) ἔφθασε καταφυγὼν εἰς τὸ τῆς Χαλκιοίκου ἱερόν*». Ἐξαρτᾶται δ' ἐκ τοῦ λέγεται.—*τὸ τέμενος*] τμῆμα γῆς κεχωρισμένον τῶν πέριξ καὶ ἀφιερωμένον θεῷ τινι λέγεται *τέμενος*, τὸ δὲ μέρος τὸ μετὰ τῶν οἰκοδομημάτων περιβόλῳ κεκλεισμένον *ἱερόν*, ὁ δ' οἶκος ὁ ἱερός, ἐν ᾧ θεραπεύεται ὁ θεός, *νεώς* (πρβλ. Δ', 90, 2), πρβλ. καὶ Πολυδ. Α', 1-10.—*ἐς οἴκημα*] ἀμφίβολον ἂν εἶναι = δωμάτιον (Γ', 68, 3) ἢ = οἰκοδόμημα (Β', 4, 5. Δ', 47, 3), προτιμότερον δὲ τὸ δεύτερον καὶ διὰ τὸ «*τοῦ ἱεροῦ*» καὶ διὰ τοὺς λόγου τοῦ ψ. Θεμιστίου (Ἐνθ. ἀνωτ. 19) «*ἱκέτης ἔν τινι οἴκῳ τοῦ τεμένους ἐκαθέζετο*». —*ὃ ἦν τοῦ ἱεροῦ*] πρβλ. καὶ «*οἴκημα ὃ ἦν τοῦ τείχους*» (Β', 4, 5).—*ὑπαίθριος*] = *διὰ τὸ ὑπαίθριος εἶναι*, εἶναι δὲ κατηγορ. μετ' ἐπιρρ. σημασίας = ὑπὸ αἴθριον (ἄστεγον) οὐρανόν, sub divo, ὡς «*ἐν ὁδοῖς ὑπαίθριος κοιμώμενος*» (Πλάτ. Συμπ. 203, δ'),—*ἵνα ταλαιπωροίη*] ἐκ τοῦ *ἐσελθὼν* ἐξαρτᾶται.

§ 2. *τὸ παραυτίκα μὲν*] *ἤγουν κατὰ τὸ ἐνεστὼς* (Σχολ.).—*ὑστέρησαν τῇ διώξει*] = *διώκοντες οὐκ ἠδυνήθησαν καταλαβεῖν.*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῇ διώξει, μετὰ δὲ τοῦτο τοῦ τε οἰκήματος τὸν ὄροφον ἀφεῖλον καὶ τὰς θύρας, ἔνδον ὄντα τηρήσαντες αὐτὸν καὶ ἀπολαβόντες ἔσω, ἀπῳκοδόμησαν, προσκαθεζόμενοί τε ἐξεπολιόρκησαν λιμῷ. Καὶ μέλλοντος αὐτοῦ ἀποψύχειν ὥσπερ εἶχεν 3
ἐν τῷ οἰκήματι, αἰσθόμενοι [τε] ἐξάγουσιν ἐκ τοῦ ἱεροῦ ἔτι ἔμπνουν ὄντα καὶ ἐξαχθεὶς ἀπέθανε παραχρῆμα. Καὶ αὐτὸν ἐμέλλησαν μὲν ἐς τὸν Καιάδαν οἵ- 4
περ τοὺς κακούργους ἐσβάλλειν· ἔπειτα ἔδοξε πλησίον που κατορύξαι. Ὁ δὲ θεὸς ὁ ἐν Δελφοῖς τόν τε τάφον ὕστερον ἔχρησε τοῖς Λακεδαιμονίοις μετενεγκεῖν οὗπερ ἀπέθανε (καὶ νῦν κεῖται ἐν τῷ προτεμενίσματι, ὃ γραφῇ στῆλαι δη-

— *τὸν ὄροφον ἀφεῖλον*] ἀντὶ τοῦ *ὄροφον* ἀλλαχοῦ (Δ', 48,2) *τὴν ὀροφὴν* λέγει, πρβ. «*τὴν ὀροφὴν ἀποσκεδάσαντες*» (Λυκοῦργ. 128) καὶ «tectum sunt demoliti, quo celerius sub divo interiret» (Nep. Paus. 5,2). — *καὶ τὰς θύρας... ἀπῳκοδόμησαν*] ὁμοίως καὶ ὁ Λυκοῦργος (§ 128) = *τειχίσαντες τὰς θύρας ἀπέφραξαν* (Σχολ.) καὶ «*φασὶν ὅτι ἡνίκα ἔφραξαν κατ' αὐτοῦ τὸ οἴκημα, ἡ μήτηρ αὐτοῦ Ἀλκιθέα πρώτη λίθον ἐπέθηκεν*» (Σχολ.), πρβλ. καὶ «*valvas aedis obstruxerunt*» (Nep. Paus. 5,2), ὅρα δὲ καὶ Διόδωρ. ΙΑ',45,1. Πολύαιν. Η',51. Λέγεται δὲ καὶ «*περιοικοδομεῖν*» (Γ', 81, 5) καὶ «*ἐνοικοδομεῖν πέλλην*» (Ϛ', 51,1). — *ἔνδον ὄντα τηρήσαντες αὐτὸν*] *ἔξεστι γὰρ εἰς τὸ ἱερὸν πολλάκις* (Σχολ.).—*καὶ ἀπολαβόντες ἔσω*]= *μονώσαντες, περιείρξαντες* (Σχολ.), ὁ δὲ Κόβητος ὀβελίζει τὰς λέξεις ταύτας, διότι δι' αὐτῶν δὲν προστίθεται πλεῖόν τι. — *προσκαθεζόμενοί τε ἐξεπολιόρκησαν λιμῷ*] δηλ. *αὐτὸν*=διὰ τῆς πείνης αὐτὸν ἐπίεσαν, κατέβαλον (πρβλ. Α',131,1), πρβλ. καὶ Λυκοῦργον «*καὶ κύκλῳ περιστρατοπεδεύσαντες οὐ πρότερον ἀπῆλθον πρὶν ἢ τῷ λιμῷ ἀπέκτειναν*» (§ 128).

§ 3. *ἀποψύχειν*] = ἐκπνέειν. — *ὥσπερ εἶχεν*]=καθὼς ἦτο, ὅπως εὑρίσκετο=παραχρῆμα, εὐθὺς (πρβλ. Β',4,6. Γ', 30, 1. Ϛ',57,3. Η',41,3. 42,1, Ξεν. Παιδ. Γ', α',7).—*ἐν τῷ οἰκήματι*] ὀβελίζει τὰς λέξεις ὁ Ἐρουερδήν, συνάπτεται δὲ τῷ *ἀποψύχειν* καὶ ἀνταποκρίνεται εἰς τὸ *ἐκ τοῦ ἱεροῦ*», ὡς τὸ «*ὥσπερ εἶχεν*» εἰς τὸ *παραχρῆμα*.—*ἐξάγουσιν*] πρβλ. 126,11.—*ἔτι ἔμπνουν ὄντα*] ἀνθ' οὗ ὁ Νέπως εἶπε «semianimem» (Paus. 5,4).—*ἀπέθανε*] τῷ 476 π.Χ., κατὰ δὲ Κρυγῆρον τῷ 473 π.Χ.

§ 4. *ἐμέλλησαν*] *ἐτόπησαν, ἐβουλεύσαντο, ἐγγὺς ἐγένοντο* (Σχολ.). Τὸν ἀόριστον τοῦτον μεταχειρίζεται καὶ ἀλλαχοῦ ὁ Θουκ. (Γ', 55,2.92,2. Ε', 116,1. Η', 23,5).—Καιάδαν] «*τόπος ὁ Καιάδας ὀρωρυγμένος ἐν Λακωνικῇ, ὅπου τοὺς κακούργους εἰώθασι ῥίπτειν*» (Σχολ.), ὅρα καὶ Στράβ. Η', σ. 367. Παυσαν. Δ', ιη', 3. Σουΐδ. ἐν λ. καὶ ἐν λ. *βάραθρον*), νῦν δὲ δὲν ὑπάρχει τὸ βάραθρον τοῦτο (πρβλ. Curt. Pelop. II, p. 752). — *οἷπερ τοὺς κακούργους*] τὸ *οἷπερ* κατὰ διόρθωσιν τοῦ Ἐρουερδῆνος ἀντὶ τοῦ «*οἷσπερ*» τῶν χειρογράφων, ἐννοεῖται δὲ τὸ «*ἐσβάλλουσιν*» ἐκ τοῦ *ἐσβάλλειν* ἐξαρτωμένου ἐκ τοῦ *ἐμέλλησαν*. — *ἔπειτα*] ἀσύνδετον (πρβλ. 131,2).—*πλησίον που*] δηλ. τοῦ Καιάδου (Σχολ.). Ὁ δὲ Νέπως διαφωνεῖ λέγων «procul ab eo loco infoderunt, quo erat mortuus» (Paus. 5, 5).—*ὁ ἐν Δελφοῖς*] ὁ Ἀπόλλων (Σχολ.). — *τόν τε τάφον*] τὸ σῶμα (Σχολ.) τὸ τεθαμμένον.—*οὗπερ*]= ἐκεῖσε, οὗπερ (πρβλ. Ξεν. Ἀν. Β', α', 6. Γ', 6',34. Ε', η', 26. Ζ', γ', 8), ἄνευ δὲ λόγου ὁ Ἐρουερδὴν καὶ ἐνταῦθα γράφει «*οἷπερ*».—*ἐν τῷ προτεμενίσματι*]=*ἐν τῷ προπυλαίῳ* (Σχολ.), κατὰ δὲ τὸν Σχολ. Πάτμου «*προτεμένισμα, ὃ πρὸ τοῦ ἱεροῦ καὶ τοῦ τεμένους τόπος*», ὁ δὲ *Παυσανίας*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λοῦσι), καὶ ὡς ἄγος αὐτοῖς ὂν τὸ πεπραγμένον δύο σώματα ἀνθ' ἑνὸς τῇ Χαλκιοίκῳ ἀποδοῦναι. Οἱ δὲ ποιησάμενοι χαλκοῦς ἀνδριάντας δύο ὡς ἀντὶ Παυσανίου ἀνέθεσαν.

135. Οἱ δὲ Ἀθηναῖοι, ὡς καὶ τοῦ θεοῦ ἄγος κρίναντος, ἀντεπέταξαν 1
τοῖς Λακεδαιμονίοις ἐλαύνειν αὐτό. Τοῦ δὲ μηδισμοῦ τοῦ Παυσανίου Λακεδαι- 2
μόνιοι, πρέσβεις πέμψαντες παρὰ τοὺς Ἀθηναίους, ξυνεπηγιῶντο καὶ τὸν Θε-
μιστοκλέα, ὡς ηὗρισκον ἐκ τῶν περὶ Παυσανίαν ἐλέγχων, ἠξίουν τε τοῖς αὐ-
τοῖς κολάζεσθαι αὐτόν. Οἱ δὲ πεισθέντες (ἔτυχε γὰρ ὠστρακισμένος καὶ ἔχων 3
δίαιταν μὲν ἐν Ἄργει, ἐπιφοιτῶν δὲ καὶ ἐς τὴν ἄλλην Πελοπόννησον) πέμ-
πουσι μετὰ τῶν Λακεδαιμονίων, ἑτοίμων ὄντων ξυνδιώκειν, ἄνδρας οἷς εἴρητο
ἄγειν ὅπου ἂν περιτύχωσιν.

136. Ὁ δὲ Θεμιστοκλῆς προαισθόμενος φεύγει ἐκ Πελοποννήσου ἐς Κόρ- 1

λέγει ὅτι τὸ μνῆμα αὐτοῦ ἦν «τοῦ θεάτρου ἀπαντικρύ» (Παυσαν. Γ', ιδ', 1).—ὃ] ἀναφέρεται εἰς ὅλην τὴν πρότασιν, δηλ. *τὸ κεῖσθαι ἐν τῷ προτεμενίσματι, κακῶς δὲ ὁ Κρυγῆρος γράφει «οὗ»*.—*καὶ ὡς ἄγος.. ὄν*] γνώμη τοῦ θεοῦ, εἶναι δὲ αἰτιατ. ἀπόλυτος μετὰ τοῦ ὡς σημαίνοντος ὑποκειμ. γνώμην=διότι μίασμα ἦτο. Κατὰ δὲ τὸν Σχολ. «*ἠσέβησαν ἐν ἱερῷ αὐτὸν πολιορκήσαντες*», — *δύο σώματα*] «*τουτέστι δύο ἐφόρους ἀποθανεῖν ἀντ' αὐτοῦ· οἱ δὲ ἐσοφίσαντο τοὺς ἀνδριάντας*» (Σχολ.). — *οἱ δὲ ποιησάμενοι*] μέσον διάμεσον = κελεύσαντες ποιηθῆναι (πρβλ. *ἐπιγράψασθαι* 132,2).—*χαλκοῦς ἀνδριάντας*] τοῦ αὐτοῦ Παυσανίου, τούτους δὲ εἶδεν ὁ Παυσανίας ὁ περιηγητὴς (Γ', ιζ',7).—*ὡς ἀντὶ Παυσανίου*] δηλ. *ἐσομένους* = ἵνα ὦσιν ἀντὶ τοῦ Παυσανίου.

Κεφ. 135. *Ἡ ἐσχάτη τύχη τοῦ Θεμιστοκλέους. «Παρέκβασις διὰ τὸ ἀκόλουθα εἶναι ταῦτα τῷ κατὰ Παυσανίαν· οὐδὲν γὰρ ταῦτα πρὸς τὸ ἄγος συμβάλλεται»* (Σχολ.).

§ 1. *ἄγος κρίναντος*] δηλ. *τὸ πεπραγμένον περὶ Παυσανίαν* (134, 4), εἶναι δὲ τὸ μέρος τοῦτο συνέχεια τῆς ἀρχῆς τοῦ κεφ. 128 καὶ χρησιμεύει εἰς τὸν Θουκυδίδην ὡς ἀφετηρία τῆς ἀφηγήσεως τῶν ἐσχάτων ἡμερῶν τοῦ Θεμιστοκλέους. —*αὐτό*] δηλ. *τὸ ἄγος*, ἤτοι τοὺς ἐναγεῖς, τοὺς ἐνεχομένους αὐτῷ.

§ 2. *τοῦ δὲ μηδισμοῦ . . Θεμιστοκλέα*] ὅρα Πλούτ. Θεμιστ. ΚΓ'. Περὶ κακοηθ. Ἡροδ. Ε'. Διόδ. ΙΑ', 54 κ. ἑ. Nep. Them. 8. — *ξυνεπηγιῶντο*] = σὺν τῷ Παυσανίᾳ ἐπηγιῶντο. — *ἐκ τῶν . . ἐλέγχων*] πρβλ. «*ἐπιστολαί τινες ἀνευρεθεῖσαι καὶ γράμματα περὶ τούτων εἰς ὑποψίαν ἐνέβαλον τὸν Θεμιστοκλέα*» (Πλούτ. Θεμιστ. ΚΓ'. 3).—*τοῖς αὐτοῖς*] δηλ. *θανάτῳ*.

§ 3. *ἔτυχε γὰρ*] ὁ γὰρ αἰτιολογεῖ τὰ μετὰ τὴν παρένθεσιν (πρβλ. Λ', 31, 2).—*ὠστρακισμένος*] κατὰ τὸν Κρυγῆρον ὠστρακίσθη τῷ 476 π. Χ. ὅρα Πλουτ. Θεμιστ. ΚΒ', 2. Ἀριστείδ. Β', σ. 242. Nep. Them. 8, 1.—*ἔχων δίαιταν*]=διαιτώμενος, διατρίβων ἐν Ἄργει (Πλουτ. Θεμιστ. ΚΓ', 1).—*ξυνδιώκειν*] = σὺν τοῖς Ἀθηναίοις διώκειν Θεμιστοκλέα.—*ἄνδρας*] συναπτέον τῷ *πέμπουσιν*, πρβλ. «*ὁ δῆμος ἔπεμψεν ἄνδρας οἷς εἴρητο συλλαμβάνειν καὶ ἄγειν αὐτὸν κριθησόμενον ἐν τοῖς Ἕλλησιν*» (Πλουτ. Θεμιστ. ΚΓ', 3). —*εἴρητο*]=*ἐνετέταλτο* (Σχολ.). — *ἄγειν*] =*συλλαβόντας ἄγειν αὐτόν*.—*περιτύχωσιν*] δηλ. *αὐτῷ*.

Κεφ. 136. *Ὁ Θεμιστοκλῆς φεύγει εἰς Κέρκυραν καὶ Ἤπειρον.*

§ 1. *φεύγει*] πρβλ. Πλουτ. Θεμιστ. ΚΔ'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κυραν, ὧν αὐτῶν εὐεργέτης. Δεδιέναι δὲ φασκόντων Κορκυραίων ἔχειν αὐτὸν
ὥστε Λακεδαιμονίοις καὶ Ἀθηναίοις ἀπεχθέσθαι, διακομίζεται ὑπ' αὐτῶν ἐς
τὴν ἤπειρον τὴν καταντικρύ. Καὶ διωκόμενος ὑπὸ τῶν προστεταγμένων κατὰ 2
πύστιν ἡ χωρίη, ἀναγκάζεται κατά τι ἄπορον παρὰ Ἄδμητον τὸν Μολοσσῶν
βασιλέα, ὄντα αὐτῷ οὐ φίλον, καταλῦσαι. Καὶ ὁ μὲν οὐκ ἔτυχεν ἐπιδημῶν, ὁ 3
δὲ τῆς γυναικὸς ἱκέτης γενόμενος διδάσκεται ὑπ' αὐτῆς τὸν παῖδα σφῶν λαβὼν

Nep. Them. 8, 3. Ψ. Θεμίστ. Ἐπιστ. ΙΗ'. ΙΘ'. ΚΒ'. Ἐγένετο δὲ ἡ τοῦ Θεμιστοκλέους φυγὴ κατὰ Κρυγῆρον τῷ 473 π. Χ. — *ὧν αὐτῶν εὐεργέτης*] δηλ. *τῶν Κορκυραίων*, εἶναι δὲ σχῆμα κατὰ σύνεσιν (ὅρα Γ. Ζηκίδ. Συντ. § 588, 2). Τὴν δὲ τοῦ Θεμιστοκλέους εὐεργεσίαν ὁ Σχολ. ἑρμηνεύει ὧδε· «*ἐπειδὴ γὰρ οὐ συνεμάχησαν οἱ Κερκυραῖοι τῇ Ἑλλάδι κατὰ τοῦ βαρβάρου, ἀλλὰ ἐσοφίσαντο* (πρβλ. Ἡροδ. Ζ', 168), *ἔμελλον αὐτοὺς ἀνελεῖν οἱ πολεμήσαντες· ὁ δὲ Θεμιστοκλῆς ἐκώλυσε λέγων ὅτι, ἐὰν τοῦτο γένηται καὶ τὰς μὴ συμμαχησάσας πόλεις ἀνέλωμεν, μεῖζον πάθος ἔσται τῇ Ἑλλάδι ἢπερ ὁ Πέρσης αὐτῆς κυριεύσας ἐπεξῆλθε*»· ὁ δὲ Πλούταρχος διά τινα διαφορὰν ὑπάρχουσαν μεταξὺ Κορινθίων καὶ Κερκυραίων, ἣν κριτὴς γενόμενος ὁ Θεμ. ἔλυσεν (Πλουτ. Θεμιστ. ΚΔ', 1). — *ἔχειν*] ἐκ τοῦ *δεδιέναι* = νὰ ἔχωσιν αὐτὸν παρ' ἑαυτοῖς, νὰ προστατεύωσιν. — *ἀπεχθέσθαι*] ἐναρκτικὸς ἀόριστος = ἐχθροὺς γενέσθαι. Τὸ φερόμενον *ἀπέχθεσθαι* εἶναι τοῦ αὐτοῦ φυράματος ὡς τὸ *αἴσθεσθαι*. Τοιοῦτοι δὲ τύποι εἶναι φύσει ἀδύνατον νὰ ὑπάρχωσιν ἐν τῇ Ἑλληνικῇ. —*διακομίζεται*]=διαβιβάζεται, μεταβιβάζεται, διαπεραιοῦται.

§ 2. *ὑπὸ τῶν προστεταγμένων*]=ὑπ' ἐκείνων, οἷς προσετέτακτο διώκειν αὐτόν.— *κατὰ πύστιν*] ὁμοίως καὶ Δίων ὁ Κάσσιος (ΜΒ', ϛ', 1), συναπτέον δὲ τῷ «*διωκόμενος*» καὶ=ἐξ ἐρωτήσεως=ἐξ ὧν περὶ τῆς ὁδοῦ αὐτοῦ ἐπυνθάνοντο. — *ἡ χωρίη*] ἡ εὐκτικὴ σημαίνει ἐπανάληψιν καὶ ἐξαρτᾶται οὐχὶ ἐκ τοῦ «*κατὰ πύστιν*», ἀλλ' ἐκ τοῦ «*διωκόμενος*» =ὅπου ἤθελε πορεύεσθαι.—*κατά τι ἄπορον*] =διά τινα ἀμηχανίαν, ἣν ὁ Θουκυδ. ἢ δὲν ἐνόησεν ἢ νὰ εἰπῇ παρέλιπεν, πρβλ. «*ἔρριψεν αὐτὸν εἰς ἐλπίδας χαλεπὰς καὶ ἀπόρους καταφυγῶν πρὸς Ἄδμητον*» (Πλουτ. Θεμιστ. ΚΔ', 2), ὁ δὲ Κρυγῆρος, ᾧ τινι ἠκολούθησε καὶ ὁ Ἐρουερδήν, ἔγραψε «*κατὰ τὸ ἄπορον*»= διὰ τὴν ἑαυτοῦ ἀμηχανίαν. — *Μολοσσῶν*] ἔθνους Ἠπειρωτικοῦ κατοικοῦντος τὴν περὶ τὴν Δωδώνην χώραν. — *ὄντα οὐ φίλον*] *πέμψαντος γάρ ποτε Ἄδμήτου Ἀθήναζε περὶ συμμαχίας αἰτήσεως, ὁ Θεμιστοκλῆς ἀνέπεισε τὴν πόλιν μὴ δοῦναι αὐτῷ βοήθειαν· καὶ διὰ τοῦτο οὐκ ἦν αὐτῷ φίλος* (Σχολ.), πρβλ. καὶ Πλουτ. Θεμιστ. ΚΔ', 2. Διαφόρως δὲ λέγει ὁ Νέπως «cum quo ei hospitium erat» (Them. 8,3).—*καταλῦσαι*] ἐνταῦθα μὲν *παρά τινα* (πρβλ. καὶ τὸ Λατ. devertere ad aliquem), ἄλλοτε δὲ *καταλύειν παρά τινι* (Πλάτων. Γοργ. 447, δ'. Δημ. 18,82), πρβλ. καὶ Λατιν. devertere apud aliquem, εἶναι δὲ ἀμετάβ. γενόμενον κατ' ἔλλειψιν τοῦ ἀντικειμεν. *ἵππους* (ὅρα Ὀδ. Δ", 28), ὡς καὶ ἡ δημώδης λέγει ἐπὶ τοιαύτης ἐννοίας τὸ *ξεζεύγω* = κατάγομαι παρά τινι, μένω που (κοινῶς *κωνεύω*), πρβλ. καὶ *κατάλυμα*, ὡς μεταβατ. ὃ εἶναι τὸ «*κατάλυσιν ποιῶ τί τινι*» (Πλάτ. Πρωτ. 315, δ'). Ὅρα Γ. Ζηκίδ. Λεξ. Ἀττ. Ῥημ. σ. 276 καὶ 610.

§ 3. *ἐπιδημῶν*] οὐ ἀντίθετον τὸ *ἐκδημῶ* καὶ *ἀποδημῶ*. — *τῆς γυναικὸς*] ἦν ὁ μὲν Πλούταρχος καλεῖ *Φθίαν* (Θεμιστ. ΚΔ', 3), ὁ δὲ Ψ. Θεμίστιος (Κ', 2) *Κραταιΐπολιν*.—*διδάσκεται ὑπ' αὐτῆς*] ὁ Πλού-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καθέζεσθαι ἐπὶ τὴν ἑστίαν. Καὶ ἐλθόντος οὐ πολὺ ὕστερον τοῦ Ἀδμήτου δηλοῖ 4
τε ὃς ἐστι καὶ οὐκ ἀξιοῖ, εἴ τι ἄρα αὐτὸς ἀντεῖπεν αὐτῷ Ἀθηναίων δεομένῳ,
φεύγοντα τιμωρεῖσθαι. Καὶ γὰρ ἂν ὑπ' ἐκείνου πολλῷ ἀσθενέστερος <ὢν> ἐν
τῷ παρόντι κακῶς πάσχειν, γενναῖον δὲ εἶναι τοὺς ὁμοίους ἀπὸ τοῦ ἴσου τιμω-
ρεῖσθαι· καὶ ἅμα αὐτὸς μὲν ἐκείνῳ χρείας τινὸς καὶ οὐκ ἐς τὸ σῶμα σώζεσθαι
ἐναντιωθῆναι, ἐκεῖνον δ' ἄν, εἰ ἐκδοίη αὐτὸν (εἰπὼν ὑφ' ὧν καὶ ἐφ' ᾧ διώκεται),
σωτηρίας ἂν τῆς ψυχῆς ἀποστερῆσαι.

ταρχος προστίθησι καὶ ἄλλην τινὰ διήγησιν.—*τὸν παῖδα σφῶν*] δηλ. τῆς γυναικὸς καὶ τοῦ Ἀδμήτου, οὗτος δὲ κατὰ τὸν Ψ. Θεμίστιον (Κ', 3) ἐκαλεῖτο *Ἀρίββας. Παῖδα* λέγουσι καὶ οἱ ἄλλοι πάντες, ἀλλ' ὁ Νέπως «filium ejus parvulam arripuit et cum ea se in sacrarium conjecit (Them. 8, 4), ὅπερ διορθοῦται εἰς «filium parvulum... eo». — *καθέζεσθαι*] δηλ. *μετ' αὐτοῦ*, πρβλ. «*ἐπὶ τὴν ἑστίαν καθίσαι μετ' αὐτοῦ*» (Πλούτ. Θεμιστ. ΚΔ', 3). — *ἐπὶ τὴν ἑστίαν*] *ἔνθα τὸ πῦρ ἀνάπτεται εἰς τιμὴν θεοῦ τινος* (Σχολ.), ὁ δὲ Νέπως ἀμελέστερον καὶ ἀσαφέστερον εἶπεν, «in sacrarium, quod summa colebatur caerimonia» (Them. 8, 4).

§ 4. *ὃς ἐστι*] ὁ Ἑρουερδὴν προτιμᾷ τὸ «*ὅστις ἐστὶ*» (πρβλ. Α', 137, 2), ὁρα ὅμως Ε', 9, 2. Η', 46, 2. 50, 5.—*οὐκ ἀξιοῖ*]= *οὐκ ἄξιον νομίζει εἶναι* (Σχολ.), οὐκ ἐᾷ, πρβλ. Β', 89, 1. — *ἄρα*] = ἴσως.— *Ἀθηναίων δεομένῳ*] ὁρα § 2. καὶ Σχολ. Ἀριστείδ. σ. 680. — *φεύγοντα*]= πεφευγότα, φυγάδα ὄντα.—*ὑπ' ἐκείνου*] τοῦ *Ἀδμήτου* (Σχολ.) — *ἀσθενέστερος ὤν*] τὸ *ὤν* ἐκ προσθήκης τοῦ Καμπίου, ὅπερ ἐδέξατο καὶ ὁ Ἑρουερδήν. Ὁ Σχολ. καὶ τὰ χειρόγρ. ἔχουσιν «*ἀσθενεστέρου*», ὅπερ ἑρμηνεύεται ὧδε· *αὐτὸς (ὁ Θεμιστ.) ὢν καὶ ὑπ' ἀνθρώπου πολλῷ ἀσθενεστέρου ἐκείνου (τοῦ Ἀδμήτου) ἠδύνατο τὰ τιμωρῆται*· «*πᾶς γὰρ ὁ τυχὼν τὸν δυστυχοῦντα δύναται τιμωρεῖσθαι*» (Σχολ.). Ἀλλὰ δὲν πρόκειται περὶ οἱουδήποτε ἄλλου ἀνθρώπου, ἀλλὰ περὶ τοῦ Ἀδμήτου ἵνα μὴ τιμωρήσῃ αὐτὸν ἐξόριστον ὄντα.—*ἂν . . πάσχειν . . εἶναι*] ἐξαρτῶνται ἐκ ῥήματος *λέγει* ἐννοουμένου κατὰ ζεῦγμα ἐκ τοῦ *ἀξιοῖ* (πρβλ. Δ', 3, 2. 87, 2).—*τοὺς ὁμοίους*] ἀντικείμ. καὶ οὐχὶ ὑποκείμ. τοῦ *τιμωρεῖσθαι*, ὁ δὲ Κόβητος ὀβελίζει τὰς λέξεις, ἀλλ' ὁ Πόπος παρατηρεῖ ὅτι τοῦτο ἀντίκειται εἰς τὸ «*ἀσθενέστερος*», ὡς τὸ «*ἀπὸ τοῦ ἴσου*» εἰς τὸ «*ἐν τῷ παρόντι*» (=ἐν ταύτῃ τῇ ἀνίσῳ τῶν πραγμάτων καταστάσει). — *ἀπὸ τοῦ ἴσου*]=ἐξ ὁμοίας καταστάσεως (θέσεως), πρβλ. Α', 77, 3. — *αὐτὸς*] *ὁ Θεμιστοκλῆς* (Σχολ.). — *ἐκείνῳ*] *τῷ Ἀδμήτῳ* (Σχολ.). —*χρείας τινὸς*] γενικὴ τῆς αἰτίας εἰς τὸ *ἐναντιωθῆναι*, ὡς «*καὶ ἡμῖν ἐναντιώσεται τῆς ἀπαγωγῆς*» (Ξεν. Ἀν. Ζ', ς', 5). *χρεία* δὲ=πρᾶγμα ὠφέλιμον, πρὸς χρῆσιν πρόσφορον.—*ἐς τὸ σῶμα σώζεσθαι*] τὸ ἄρθρον ἀνήκει τῷ ἀπαρεμφάτῳ. Πολλάκις τὸ *ψυχή, σῶμα* καὶ τὰ παρόμοια κεῖνται ἄνευ ἄρθρου. Ἡ δὲ *ἐς* σημαίνει ἀναφορὰν=εἰς τὴν σωτηριαν τοῦ σώματος. ὁ δὲ Κρυγῆρος κακῶς θέλει νὰ ὀβελισθῇ τὸ μέσον «*σώζεσθαι*». — *ἐκεῖνον*] *τὸν Ἄδμητον* (Σχολ.).—*εἰπὼν*] πρβλ. σημ. Α', 87, 2.— *ὑφ' ὧν*] πρβλ. *ἀνωτ. ὃς ἐστι — σωτηρίας ἄν*] ὁ *ἄν* συναπτέος τῷ *ἀποστερῆσαι*, ἐπανελήφθη δὲ διὰ τὴν παρένθεσιν —*τῆς ψυχῆς*] ὁ Κόβητος, ᾧ ἀκολουθεῖ καὶ ὁ Ἑρουερδήν, ὀβελίζει τὰς λέξεις ταύτας, πρβλ. «*ἡ φυγὴ σώζει τὰς ψυχάς*» (Ξεν. Παιδ. Δ', α', 5).

Κεφ. 137. *Ὁ Θεμιστοκλῆς μεταβαίνει πρὸς βασιλέα τῶν Περσῶν.*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

137. Ὁ δὲ ἀκούσας ἀνίστησί τε αὐτὸν μετὰ τοῦ ἑαυτοῦ υἱέος (ὥσπερ 1
καὶ ἔχων αὐτὸν ἐκαθέζετο, καὶ μέγιστον ἦν ἱκέτευμα τοῦτο) καὶ ὕστερον οὐ πολλῷ τοῖς Λακεδαιμονίοις καὶ Ἀθηναίοις ἐλθοῦσι καὶ πολλὰ εἰποῦσιν οὐκ ἐκδίδωσιν, ἀλλ' ἀποστέλλει βουλόμενον ὡς βασιλέα πορευθῆναι ἐπὶ τὴν ἑτέραν θάλασσαν πεζῇ ἐς Πύδναν τὴν Ἀλεξάνδρου. Ἐν ᾗ ὁλκάδος τυχὼν ἀναγομένης 2
ἐπ' Ἰωνίας καὶ ἐπιβὰς καταφέρεται χειμῶνι ἐς τὸ Ἀθηναίων στρατόπεδον ὃ ἐπολιόρκει Νάξον. Καὶ (ἦν γὰρ ἀγνὼς τοῖς ἐν τῇ νηΐ) δείσας φράζει τῷ ναυκλήρῳ ὅστις ἐστὶ καὶ δι' ἃ φεύγει, καὶ εἰ μὴ σώσει αὐτόν, ἔφη ἐρεῖν ὅτι χρήμασι πεισθεὶς αὐτὸν ἄγει· τὴν δὲ ἀσφάλειαν εἶναι μηδένα ἐκβῆναι ἐκ τῆς νεὼς μέχρι ἂν πλοῦς γένηται· πειθομένῳ δ' αὐτῷ χάριν ἀπομεμνήσεσθαι ἀξίαν. Ὁ δὲ

§ 1. *ὥσπερ καὶ ἔχων αὐτὸν ἐκαθέζετο*] = ὥσπερ καὶ κατέχων αὐτὸν (τὸν υἱὸν) ἐκαθέζετο. Ὁ Σχολ. ἀνέγνω «*ὥσπερ ἔχων αὐτὸς*»=ἐν ᾧ σχήματι εὑρισκόμενος ἐκάθισεν, ὁ δὲ Κρυγῆρος ὀβελίζει τὸ «*ἔχων αὐτὸν*», ὅπερ δέχεται καὶ ὁ Ἐρουερδήν. Πρβλ. ὅμως Πλούταρχον «*ἔχων γὰρ αὐτοῦ τὸν υἱὸν . . πρὸς τὴν ἑστίαν προσέπεσε, ταύτην μεγίστην καὶ μόνην σχεδὸν ἀναντίρρητον ἡγουμένων ἱκεσίαν τῶν Μολοττῶν*» (Θεμιστ. ΚΔ', 2).—*μέγιστον ἱκέτευμα*] δηλ. παρὰ τοῖς Μολοσσοῖς, τὸ δὲ τοῦτο ὑποκείμ. καὶ τὸ *ἱκέτευμα* κατηγορούμενον. — *ὕστερον οὐ πολλῷ*] ὅρα σημ. Α', 18, 2.—*πολλὰ εἰποῦσιν*] *ἀντὶ τοῦ ἀπειλήσασιν* (Σχολ.). ὁ δὲ Ναθῆρος γράφει «*πόλλ' ἀπειλοῦσιν*», πρβλ. Διόδωρ. ΙΑ', 56, 2. Ψ. Θεμίστ. Ἐπιστ. ΙΘ', 13 κ. ἑ. — *ἀποστέλλει*] ὁ Νέπως «Pydnam eum deduci jussit et quod satis esset praesidii dedit» (Them. 8,5).—*ἐπὶ τὴν ἑτέραν θάλασσαν*] δηλ. τὸ Αἰγαῖον πέλαγος.—*ἐς Πύδναν*]=*ἕως τῆς Πύδνης* (Σχολ.), πρβλ. περὶ αὐτῆς σημ. Α', 61, 2. — *τὴν Ἀλεξάνδρου*] δηλ. *πόλιν* (Σχολ.), ὁ δ' Ἀλέξανδρος ἦν υἱὸς τοῦ Ἀμύντου καὶ πατὴρ τοῦ Περδίκκου καλούμενος *Φιλέλληνα* (πρβλ. Α', 57, 2).

§ 2. *ὁλκάδος*] ἡ *ὁλκὰς*=πλοῖον φορτηγὸν οὐχὶ μέγα ὥστε εὐκόλως νὰ ρυμουλκῆται. —*ἐπ' Ἰωνίας*] πρβλ. Α', 116, 1. — —*καὶ ἐπιβὰς*] *αὐτῆς* ἢ *ἐπ' αὐτὴν* (Α', 111, 2).—*καταφέρεται χειμῶνι*] ἰσχυρότερον τοῦ *καταπλεῖ*, *κατέρχεται*, τὸ δὲ *χειμῶνι* = ὑπὸ χειμῶνος, τρικυμίας, πρβλ. «*πνεύματι τῆς ὁλκάδος εἰς Νάξον καταφερομένης*» (Πλουτ. Θεμιστ. ΚΕ', 1). — *ὃ πολιόρκει Νάξον*] τῷ 473 π. Χ. ὅρα Α', 98, 4.—*ἦν γὰρ*] ὁ γὰρ αἰτιολογεῖ τὸ *δείσας* (πρβλ. 135, 3).—*ἀγνὼς*] μετὰ παθητ. σημασίας=ἄγνωστος (πρβλ. καὶ Ξεν. Ἑλλ. Α', ς', 4. Δημ. 38, 20. κτλ.).—*τῷ ναυκλήρῳ*] = τῷ κυρίῳ τῆς νεώς, μόνος δὲ ὁ Πλούταρχος προστίθησι «*καὶ τῷ κυβερνήτῃ*» (Θεμιστ. ΚΕ', 1).—*καὶ δι' ἃ*] ὅρα Α', 136, 4.—*ἔφη ἐρεῖν*]=κατεψεῖν αὐτοῦ, πρβλ. «*λέγων ὅτι κατηγορήσοι καὶ καταψεύσαιτο πρὸς τοὺς Ἀθηναίους*» (Πλούτ. Θεμιστ. ΚΕ', 2).—*αὐτὸν ἄγει*] ἐκφέρεται ὁ λόγος ὡς ἀπόλυτος ἀντὶ τοῦ «*αὐτὸν ἄγοι*». Ὅμοιον πρὸς τὸ τοῦ Θεμιστοκλέους παράδειγμα μνημονεύεται καὶ παρ' Ἀππιαν. Ἐμφ. Πολ. Δ', 48.—*τὴν δὲ ἀσφάλειαν εἶναι*] τὸ ἄρθρον μετὰ δεικτικῆς σημασίας καὶ καθ' ἕλξιν πρὸς τὸ *ἀσφάλειαν* τεθὲν ἀντὶ τοῦ «*τὸ δὲ*»=*ταύτην δὲ ἀσφάλειαν εἶναι* ἢ *τοῦτο δὲ ἀσφαλὲς εἶναι* (πρβλ. Α', 70, 3).—*μέχρι ἂν*] κατὰ Ἐρουερδῆνα, ὁ δὲ Κλασσήνιος καὶ ὁ Στάλλιος ὑποστηρίζουσι τὴν ἄνευ τοῦ *ἂν* ἐκφοράν, παραβάλλοντες πρὸς τὸ *μέχρι οὗ* (Γ', 28, 2. Δ', 16, 2. 41, 1. 46, 3), ὅρα Stahl Quaes. Gram. σ. 26. —*πλοῦς*]=*εὔπλοια* (πρβλ. Γ', 3, 5).—*ἀπομεμνήσεσθαι*] κατὰ Κρυγῆ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροια

ναύκληρος ποιεῖ τε ταῦτα καὶ ἀποσαλεύσας ἡμέραν καὶ νύκτα ὑπὲρ τοῦ στρα-
τοπέδου ὕστερον ἀφικνεῖται ἐς Ἔφεσον. Καὶ ὁ Θεμιστοκλῆς ἐκεῖνόν τε ἐθερά- 3
πευσε χρημάτων δόσει (ἦλθε γὰρ αὐτῷ ὕστερον ἔκ τε Ἀθηνῶν παρὰ τῶν φίλων
καὶ ἐξ Ἄργους ἃ ὑπεξέκειτο), καὶ μετὰ τῶν κάτω Περσῶν τινος πορευθεὶς
ἄνω ἐσπέμπει γράμματα ἐς βασιλέα Ἀρταξέρξην τὸν Ξέρξου νεωστὶ βασι-
λεύοντα. Ἐδήλου δὲ ἡ γραφὴ ὅτι «Θεμιστοκλῆς ἥκω παρὰ σέ, ὃς κακὰ μὲν 4
πλεῖστα Ἑλλήνων εἴργασμαι τὸν ὑμέτερον οἶκον, ὅσον χρόνον τὸν σὸν πατέρα
ἐπιόντα ἐμοὶ ἀνάγκη ἠμυνόμην, πολὺ δ' ἔτι πλείω ἀγαθά, ἐπειδὴ ἐν τῷ ἀ-

ρον καὶ Κόβητον ἀντὶ τοῦ ἐν ταῖς χειρογρ. «ἀπομνήσεσθαι», ἀνθ' οὗ ὁ Δινδόρφιος καὶ Στάλλιος «ἀπομνησθήσεσθαι», πρβλ. «σὺ νῦν μοι τῶν δ' ἀπέμνησαι χάριν» (Εὐρ. Ἄλκ. 299).—ἀποσαλεύσας] = ἀποφυγὼν ἐκ τοῦ λιμένος καὶ σάλῳ ὁμιλήσας, τουτέστι τῷ ἀλιμένῳ τόπῳ, ἔνθα σάλος γίνεται (Σχολ.) = διαμείνας ἐν ἀνοικτῇ θαλάσσῃ, ἐν τῷ πελάγει ἀγκυροβολήσας, πρβλ. «in salo navem tenuit in anchoris» (Nep. Them. 8, 7).—ὑπὲρ τοῦ στρατοπέδου]=ὑπεράνω τοῦ στρατοπέδου(πρβλ. Α', 112, 4). — ἐς Ἔφεσον] συμφωνοῦσι καὶ ὁ Νέπως καὶ ὁ Ψ. Θεμίστιος (35), κακῶς δ' ὁ Πλούταρχος λέγει εἰς Κύμην (Θεμιστ. ΚΣ', 1) πολλῷ ἀπωτέραν οὖσαν τῆς Νάξου παρὰ τὴν Ἔφεσον.

§ 3. ἦλθε] περὶ τοῦ ῥήματος ὅρα σημ. Α', 4, περὶ δὲ τοῦ πράγματος Πλουτάρχ. Θεμιστ. ΚΕ'. 2.—ὑπεξέκειτο] ὁμοίως καὶ Η', 31, 4, εἶναι δὲ ὡς παθητ. τοῦ μέσου ὑπεκτίθεσθαι (Α', 89, 3).—τῶν κάτω Περσῶν] τῶν ἐν τῇ παραλίᾳ.— τινὸς] τοῦτον ὁ μὲν Διόδωρος (ΙΑ', 56, 4-57) καλεῖ Δυσιθείδην, ὁ δὲ Πλούταρχος (Θεμιστ. ΚΣ', 1) Νικογένην. —ἄνω] εἰς τὸ ἐσωτερικόν, ἐπορεύθη δὲ κατὰ Πλούταρχον ἐντὸς ἀπήνης (Θεμιστ. ΚΣ', 2-3).—ἐσπέμπει γράμματα]=ἐπιστολήν, πρβλ. καὶ (§ 4) «ἐδήλου ἡ γραφὴ» (ὅρα Α', 130, 1). Ὁ Ἔφορος (ἀποσπ. 145), ὁ Διόδωρος, ὁ Πλούταρχος (Θεμιστ. ΚΗ', 1) καὶ ὁ ψ. Θεμίστιος (ΙΘ', 11) λέγουσιν ὅτι πρὸς αὐτὸν τὸν βασιλέα προσῆλθε καὶ οὐχὶ δι' ἐπιστολῆς, πρὸς δὲ τὸν Θουκυδίδην συμφωνεῖ ὁ Νέπως (Them. 9, 1). — Ἀρταξέρξην] ὁ Χάρων ὁ Λαμψακηνός, ὁ Πλούταρχος (Θεμιστ. ΚΖ', 1), ὁ Νέπως (Them. 9, 1) καὶ ὁ Κικέρων (ad Attic. X, 8) πρὸς τὸν Ἀρταξέρξην, ὁ δὲ Δείνων, Κλείταρχος, Ἡρακλείδης (παρὰ Πλουτ. Θεμιστ. ΚΖ', 1) καὶ ὁ Διόδωρος (ΙΑ', 69) πρὸς αὐτὸν τὸν Ξέρξην.—νεωστὶ βασιλεύοντα] κατὰ Κρυγῆραν τῷ 474-473 π. Χ., κατ' ἄλλους δὲ τῷ 465 π. Χ.

§ 4. ἡ γραφὴ]=ἡ ἐπιστολή (Α', 129, 1). — ἔστι] δι' αὐτοῦ γίνεται ἡ εἰσαγωγὴ εἰς ὀρθὸν λόγον (πρβλ. Δ', 38, 3. Ε', 10, 5. Η', 53, 3).—Θεμιστοκλῆς ἥκω] ὁηλ. ἐγὼ Θεμιστοκλῆς ἥκω, οὕτω καὶ ἐν τῇ Λατινικῇ. «Themistocles veni ad te» (Nep. Them. 9, 2). — πλεῖστα Ἑλλήνων] κατὰ σύμπτυξιν=πλεῖστα κακὰ (τῶν κακῶν τῶν Ἑλλήνων ἢ οἱ Ἕλληνες εἰργάσαντο).— οἶκον]=τὸ γένος, ὁμοίως δὲ καὶ οἱ Λατῖνοι λέγουσιν ἀντὶ τοῦ gens τὸ domus.— ἐπιόντα ἐμοί] τὴν κατὰ τῆς πατρίδος ἀδικίαν ὁ Θεμιστοκλῆς θεωρεῖ ὡς εἰς ἑαυτὸν γινομένην, διότι ἦν ἀρχηγὸς αὐτῆς (πρβλ. καὶ Δ', 64, 1).—πολὺ]=πολλῷ (πρβλ. Α', 35, 4). — ἀγαθὰ] εἴργασμαι δηλονότι (Σχολ.). — ἐν τῷ ἀσφαλεῖ μὲν ἐμοὶ] τὰ πράγματα ἦν δηλονότι (Σχολ.), ἐννοητέον τὸ ἀγίγνετο καὶ ὡς ὑποκείμ. τὸ γενικὸν «πράγματα», ἠδύνατο δὲ νὰ γράψῃ καὶ «ἐν τῷ ἀσφαλεῖ μὲν ἐγώ», πρβλ. καὶ Νέπωτα «postquam in tuto ipse» (Them.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σραλεῖ μὲν ἐμοί, ἐκείνῳ δὲ ἐν ἐπικινδύνῳ πάλιν ἡ ἀποκομιδὴ ἐγίγνετο. Καί μοι εὐεργεσία ὀφείλεται (γράψας τὴν ἐκ Σαλαμῖνος προάγγελσιν τῆς ἀναχωρήσεως καὶ τὴν τῶν γεφυρῶν [ἣν ψευδῶς προσεποιήσατο] τότε δι' αὐτὸν οὐ διάλυσιν), καὶ νῦν ἔχων σε μεγάλα ἀγαθὰ δρᾶσαι πάρειμι διωκόμενος ὑπὸ τῶν Ἑλλήνων διὰ τὴν σὴν φιλίαν. Βούλομαι δ' ἐνιαυτὸν ἐπισχὼν αὐτός σοι περὶ ὧν ἥκω δηλῶσαι».

138. Βασιλεὺς δέ, ὡς λέγεται, ἐθαύμασέ τε αὐτοῦ τὴν διάνοιαν καὶ ἐκέ- 1

9,3), καὶ «*ἀσφαλῆ μὲν ἐμοί*».—*πάλιν ἡ ἀποκομιδή*]=*ἡ πάλιν ἀποκομιδὴ*=*ἡ ἐπάνοδος, ἡ ὑποστροφὴ* (Σχολ.). πρβλ. Α', 82,2. Β', 18,3.38. Ϛ',64,3. Ὅρα Γραμ. Κυννήρ. § 464,2.—*γράψας*] σχῆμα κατὰ τὸ σημαινόμενον, διότι τὰ ἡγούμενα ἰσοῦνται τῷ «*δίκαιός εἰμι εὐεργετεῖσθαι*», κακῶς δὲ ταῦτα νομίζονται ὅτι λέγονται ἐκ τοῦ Θουκυδίδου καὶ οὐχὶ ὑπὸ τοῦ Θεμιστοκλέους (πρβλ. καὶ Nep. Them. 9, 3).—*τὴν προάγγελσιν τῆς ἀναχωρήσεως*]=*τὴν πρὸ τοῦ κινδύνου* (*τὴν ἔγκαιρον*) *προτροπήν, ἣν ἐποίησε τῷ Ξέρξῃ πρὸς ἀναχώρησιν* (πρβλ. Ἡροδ. Η',110. Πλουτ. Θεμιστ. ΙϚ', 2-3), κακῶς δὲ νομίζεται ὑπό τινων ὅτι ἐννοεῖται ἐνταῦθα τὸ στρατήγημα τοῦ Θεμιστοκλέους πρὸς τὸν Ξέρξην περὶ τῆς δῄθεν ἀναχωρήσεως τῶν Ἑλλήνων πρὸ τῆς ἐν Σαλαμῖνι ναυμαχίας ἐκ Σαλαμῖνος (Ἡροδ. Η',75. Πλουτ. Θεμιστοκλ. 1Β', 2). Ἡ δὲ λέξις *προάγγελσις* μόνον ἐνταῦθα ἀπαντᾷ, συντάσσεται δὲ μετὰ γενικῆς ἐξ ἀντικειμένου, ὡς τὸ *ὑπόμνησις* (Β', 88,3. Δ', 17,3), *παραίνεσις* (Δ',59,3), *παρακέλευσις* (Ε',69,2).—*καὶ τὴν τῶν γεφυρῶν... οὐ διάλυσιν*] *ταῦτα κεῖται παρ' Ἡροδότῳ* (Σχολ. πρβλ. Ἡροδ. Η', 109. Πλουτ. Θεμιστ. ΙϚ'. Nep. Them. 9,3). Ἐτέθη δὲ τὸ *οὐ*=*τὴν ἀδιαλυσίαν τῶν γεφυρῶν, ὅτι οὐ διελύθησαν αἱ γέφυραι* (πρβλ. Γ',95,2. Ε',35.2.50,4. Ζ',34,6). Ὅρα Ἀσωπ. Εἰσ. εἰς Σύντ. σ. 778,27. Κυννήρ. Γραμμ. § 515, 4.—[*ἣν ψευδῶς προσεποιήσατο*]=*ἣν* (=*τὴν τῶν γεφυρῶν δι' αὐτὸν οὐ διάλυσιν*) *ψευδῶς*

ἑαυτῷ ᾠκειοποιήσατο (πρβλ. Α', 54, 2), ὀρθῶς δὲ ὁ Κόβητος ὀβελίζει τὰς λέξεις ταύτας (εἰς Ὑπερείδ. σ. 60 καὶ Mnem. Η', σ, 122. ΙΑ', σ. 375), ᾧ τινι πείθεται καὶ ὁ Ἐρουερδήν. Διὰ τούτων δὲ ὁ Θουκυδίδης διαφωνεῖ τῷ Ἡροδότῳ (Η', 108-110), ἀλλὰ ταῦτο εἶναι οὐδὲν ὡς πρὸς τὸ ἄτοπον τοῦ νὰ γράψῃ ὁ Θεμιστοκλῆς περὶ ἑαυτοῦ τοιαῦτα ἐν ἐπιστολῇ πρὸς τὸν βασιλέα.—*τότε*] πρβλ. Α',101,2.—*δι' αὐτὸν*] *τὸν Πέρσην* (Σχολ.). *χάριν* (*ἕνεκα*) *αὐτοῦ*.—*διὰ τὴν σὴν φιλίαν*] *τὸ σὴν ἰσοῦται πρὸς γενικὴν ἐξ ἀντικειμένου*=*διὰ τὴν ἐμὴν πρὸς σὲ φιλίαν* (πρβλ. Α',33,4), *συναπτέον δὲ πρὸς τὸ «διωκόμενος» καὶ οὐχὶ πρὸς τὸ πάρειμι, ὡς ὁ Νέπως ποιεῖ «confugi ad te.... tuam petens amicitiam»* (Them. 9, 3) καὶ ὁ Κροάζετος ἑρμηνεύει *«l'amitié que je te porte».*—*ἐπισχὼν*] *ἀμετάβ.*=*ἀναβολὴν ποιησάμενος, μείνας, σταθείς*, πρβλ. Νέπωτα *«de autem rogn, ut de iis rebus, quas tecum colloqui volo, annuam mihi tempus detur eoque transacto ad te venire patiaris»* (Them. 9, 4).—*αὐτὸς*] *συναπτέον τῷ «δηλῶσαι»*=*μόνος καὶ οὐχὶ δι' ἐπιστολῆς*.

Κεφ. 138. *Ὁ Θεμιστοκλῆς γίνεται μέγας παρὰ βασιλεῖ, νοσήσας δ' ἐτελεύτησε καὶ τὰ ὀστᾶ αὐτοῦ κρύφα ἐτέθησαν ἐν τῇ Ἀττικῇ.*

§ 1. *Βασιλεὺς δέ*] *ταῦτα διεξοδικώτερον καὶ ὀλίγον διαφόρως διηγεῖται ὁ Διόδωρος* (ΙΑ', 56 κ. ἑ.) *καὶ ὁ Πλούταρχος* (Θεμιστ. ΚΗ'). —*τὴν διάνοιαν*] = *τὸν νοῦν καὶ κατὰ τὸν Σχολ. «ὅτι εἶπεν, ἐπειδὴ*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λευε ποιεῖν οὕτως. Ὁ δ' ἐν τῷ χρόνῳ ὃν ἐπέσχε τῆς Περσίδος γλώσσης ὅσα ἐδύνατο κατενόησε καὶ τῶν ἐπιτηδευμάτων τῆς χώρας· ἀφικόμενος δὲ μετὰ τὸν ἐνιαυτὸν γίγνεται παρ' αὐτῷ μέγας καὶ ὅσος οὐδεὶς πω Ἑλλήνων διά τε τὴν προϋπάρχουσαν ἀξίωσιν καὶ τοῦ Ἑλληνικοῦ ἐλπίδα ἣν ὑπετίθει αὐτῷ δουλώσειν, μάλιστα δὲ ἀπὸ τοῦ πεῖραν διδοὺς ξυνετὸς φαίνεσθαι. Ἦν γὰρ ὁ Θεμιστοκλῆς, βεβαιότατα δὴ φύσεως ἰσχὺν δηλώσας, καὶ διαφερόντως τι ἐς αὐτὸ μᾶλλον ἑτέρου ἄξιος θαυμάσαι· οἰκείᾳ γὰρ ξυνέσει, καὶ οὔτε προμαθὼν ἐς αὐ-

ἴσχυσε μηχανῇ τινι σῶσαι τὸν πατέρα αὐτοῦ». Ἄλλως δὲ ὁ Πλούταρχος «τὸ φρόνημα καὶ τὴν τόλμαν αὐτοῦ» (Θεμιστ. ΚΙΙ', 3). ὁ δὲ Νέπως «*animi magnitudinem*» (Them. 10,1). Ὁ δὲ Ναβῆρος ἀντὶ τοῦ «διάνοιαν» γράφει «ἀγχίνοιαν». — οὕτως] = ὡς διενοεῖτο. — ὃν ἐπέσχε] αἰτιατ. χρονική καὶ οὐχὶ ἀντικείμενον, πρβλ. «ἐνιαυτὸν ἐπισχών» (Α', 137, 4), ὁ δὲ Σχολ. παρατηρεῖ ὅτι «ἐσκόπει γάρ, εἴ πως αὐτὸν ἐν τῷ μεταξὺ ἀνακαλέσαιντο οἱ Ἀθηναῖοι». —ὅσα ἐδύνατο] ἡ φράσις δὲν φαίνεται ὑγιής, ὡς δ' ἔχει, ἑρμηνευτέα ὧδε =ὅσα τῆς Περσίδος γλώσσης καὶ τῶν ἐπιτηδευμάτων τῆς χώρας ἐδύνατο (κατατοῆσαι) κατενόησεν. Σαφῶς περὶ τούτου ἐκφράζεται ὁ Νέπως (Them. 10,1), ὁ Πλούταρχος (Θεμιστ. ΚΘ', 2) καὶ ὁ Κοϊντιλιανὸς (XI, 2, 50). —κατενόησε] = κατέμαθε. — τῶν ἐπιτηδευμάτων] = τῶν ἐθῶν (Σχολ.).

§ 2. *μετὰ τὸν ἐνιαυτὸν*] ὃν ἠτήσατο (Α', 137, 4). —*μέγας*] = μέγα δυνάμενος (Ἡροδ. Ϛ', 30). — *καὶ ὅσος οὐδείς πω*] δηλ. *ἐγένετο ἢ ἦν*. Σχολ. «Ἱστιαῖος καὶ Ἱππίας καὶ Δημάρατος καὶ ἄλλοι». —*ἀξίωσιν*] = ἀξίαν, ἀξίωμα (Β', 34,2. 61,4. 65,8), κατὰ τοῦτο δὲ διαφέρει παρὰ Θουκυδίδῃ ἡ ἀξίωσις τοῦ ἀξιώματος, διότι σημαίνει ἀξίαν ὑπὸ τοῦ ἰδίου προσώπου ἀναγνωριζομένην, συνείδησιν τῆς ἀξίας. — *καὶ τοῦ Ἑλληνικοῦ ἐλπίδα... δουλώσειν*] διὰ τὴν ἔλξιν ἀντὶ τοῦ «*καὶ διὰ τὴν ἐλπίδα ἣν ὑπετίθει αὐτῷ δουλώσειν τὸ Ἑλληνικόν*» (ὥρα Κυννήρ. Γραμμ. § 600,5), ὁ δὲ Βάδαμος ἀντὶ τοῦ «ἐλπίδα» γράφει «*δουλώσειν*». —*ὑποτίθει αὐτῷ*] = *ὑπέβαλλε τῷ Πέρσῃ* (Σχολ.), πρβλ. Δ', 65,4. —*πεῖραν διδοὺς*] μετοχὴ τροπικὴ καὶ παρατατικοῦ χρόνου σημαίνουσα ἐπανάληψιν τῶν δειγμάτων τῆς πείρας, ἅτινα ὁ Θεμιστοκλ. εἶχε δοὺς = ὅτι ἐκ πείρας ἦν εὐσύνετος ἐφαίνετο. Περὶ τοῦ πεῖραν δίδόναι τινί ὥρα καὶ Ϛ', 11,4. Λέγεται δὲ πάντοτε ἀνάρθρως τὸ «δίδωμι πεῖραν», ὡς καὶ τὸ «λαμβάνω πεῖραν» καὶ οὐχὶ τὴν πεῖραν (πρβλ. Πλάτων. Πρωτ. 342, α'. 348, α'. Θεαίτ. 129, δ'. Νόμ. 649, ε'. Ἰσοκρ. 12. 236. Ξεν. Ἀνι. Ε', ϛ', 15. Ϛ', ϛ', 33. Δημ. 23, 131. 24, 24 κτλ.). —*ἀπὸ τοῦ... φαίνεσθαι*] ἡ ἀπὸ σημαίνει αἰτίαν.

§ 3. *Ἦν γὰρ*] περὶ ὅλης ταύτης τῆς παραγράφου ἀδικώτερον κρίνει Διονύσιος ὁ Ἁλικαρνασσεύς (σ. 794). —*ἦν.. δηλώσας*] τὸ *ἦν* συναπτέον τῷ *ἄξιος*, διότι ὁ Θουκυδίδης δὲν συνάπτει τὴν μετοχὴν τοῦ ἀορίστου, ὡς τὴν τοῦ ἐνεστῶτος (ὥρα Α', 1,1), μετὰ τοῦ *εἰμὶ* πρὸς περίφρασιν τοῦ ἀορίστου, διὸ στικτέον πρὸ τοῦ *βεβαιότατα* καὶ μετὰ τὸ *δηλώσας*, ἡ δὲ μετοχὴ *δηλώσας* αἰτιολογεῖ τὸ «*ἦν ἄξιος*». — *δὴ*] ἐπιτείνει τὸ *βεβαιότατα*. —*φύσεως*] = εὐφυίας, πνεύματος. — *καὶ διαφερόντως τι*] ὁ καὶ ἐπιδοτικός, τὸ δέ τι ἐπίρρημα = καὶ ὑπερεχόντως πως, καὶ κατὰ ὑπέρτερόν τινα τρόπον. — *ἐς αὐτὸ*] *εἰς τὴν ἰσχὺν τῆς φύσεως* (Σχολ.) = *εἰς τὸ φύσεως ἰσχὺν δηλῶσαι* (ὥρα Κυννήρ. Γραμμ. § 361, 1). πρβλ. Α', 74,1. 122, 3, ἡ δὲ *ἐς* σημαίνει ἀναφοράν. —*μᾶλλον ἑτέρου*] ὁ Πόππος συνάπτει αὐτὸ τῷ «*καὶ διαφερόντως τι*», ὅ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὴν οὐδὲν οὔτ' ἐπιμαθών, τῶν τε παραχρῆμα δι' ἐλαχίστης βουλῆς κράτιστος γνώμων καὶ τῶν μελλόντων ἐπὶ πλεῖστον τοῦ γενησομένου ἄριστος εἰκαστής· καὶ ἃ μὲν μετὰ χεῖρας ἔχοι, καὶ ἐξηγήσασθαι οἷός τε, ὧν δὲ ἄπειρος εἴη, κρῖναι ἱκανῶς οὐκ ἀπήλλακτο, τό τε ἄμεινον ἢ χεῖρον ἐν τῷ ἀφανεῖ ἔτι προεώρα μά-

περ δὲν εἶναι ὀρθόν, διότι τὸ *διαφερόντως* περιέχον συγκριτικὴν ἔννοιαν συντάσσεται γενικῇ συγκριτικῇ, τὸ δὲ *μᾶλλον* δὲν δύναται νὰ τεθῇ, πρβλ. «οὕτω σοι διαφερόντως τῶν ἄλλων Ἀθηναίων ἤρεσκεν ἡ πόλις» (Πλάτων, Κρίτ. 53, α', πρβλ. καὶ Γοργ. 479, ε', κτλ.), ἄλλοι δὲ συνάπτουσι τὸ «διαφερόντως» τῷ «θαυμάσαι», τὸ δὲ «μᾶλλον ἑτέρου» τῷ «ἄξιος»=ἀξιώτερος ἑτέρου, ὁ δὲ Ἐρουερδὴν ὀβελίζει τὸ «μᾶλλον ἑτέρου» νομίζων αὐτὸ σχόλιον τοῦ *διαφερόντως*, ἀγνοεῖ δὲ τὰς λέξεις καὶ Διονύσιος ὁ Ἁλικαρνασσεύς (σ. 794). Ἐγὼ νομίζω νόθον μόνον τὸ *μᾶλλον*, ὡς προσπεθὲν ὑπὸ ξένης χειρός, ὅπερ καὶ ἀλλαχοῦ συνέβη, ὡς «καὶ ξυμφορᾷ τῇ πόλει πάσῃ οὐδεμιᾶς ἧσσων [*μᾶλλον ἑτέρας*] ἀδόκητός τε ἐπέπεσεν» (Ζ', 29, 5).—*ἄξιος θαυμάσαι*]=ἄξιος ὥστε θαυμάσαι τινὰ αὐτὸν=ἀξιοθαύμαστος (ὁρα Ἀσωπ. Εἰσ. εἰς Σύντ. σ. 480, § 83). —*οἰκείᾳ*]=*φυσικῇ* (Σχολ.), ἐμφύτῳ (insita).—*καὶ οὔτε προμαθὼν ἐς αὐτὴν οὐδὲν οὔτ' ἐπιμαθών*]=οὔτε ἀπὸ προμαθήσεως ἀγαγών τι ἐς αὐτήν, ἤτοι τὴν ἰσχὺν τῆς φύσεως (Σχολ.) =*φύσει ἦν συνετός, οὐ μαθήσει*, πρβλ. καὶ «σοφὸς ὁ πολλὰ εἰδὼς φυᾷ» (Πίνδ. Ὀλ. Β', 94), ὁ δὲ *καὶ*=καὶ ταῦτα, καίπερ (πρβλ. Α', 144, 4) = αὐτὴ ἡ φυσικὴ σύνεσις οὐδὲν ὤφειλεν οὔτε εἰς προηγουμένην σπουδὴν οὔτε εἰς τὸ ἄλλο εἶδος τῆς σπουδῆς, ὅπερ προέρχεται ἐκ τῆς πείρας, καὶ μάλιστα ἐκ τῆς δυστυχοῦς πείρας (Κροάζετος). Ἡ δ' *ἐπὶ* εἰς τὸ *ἐπιμαθὼν* σημαίνει τὸ ὕστερον, κατόπιν, πρβλ. «ὅ,τι μὲν βέλτιον ἄλλου ἐπίσταιτο ἐπιδιδάξαι, ὅ,τι δὲ χεῖρον ἐπιμαθεῖν» (Ξεν. Οἰκ. ι', 10),—*τῶν τε παραχρῆμα*]=τῶν παραπιπτόντων (Σχολ.). —*βουλῆς*]=σκέψεως. —*γνώμων*]=κριτὴς (Σχολ.), πρβλ. Αἰσχύλ. Ἀγ. 1130. Ξενοφ. Ἀπ. Α', δ', ϛ. Περὶ τῆς ὅλης ἐννοίας πρβλ. καὶ Nep. Them. 1, 3. Εἰς τὸ *γνώμων καὶ εἰκαστὴς καὶ οἷός τε ἐνγνητέον* τὸ ἦν, ὅπερ ὅμως ὁ Ἐρουερδὴν προστίθησιν ἐν τῷ κειμένῳ μετὰ τὸ «γνώμων».—*καὶ τῶν μελλόντων ...εἰκαστὴς*] ὁ Κρυγῆρος συνάπτει τὸ μὲν «τῶν μελλόντων» μετὰ τοῦ «ἐπὶ πλεῖστον» καὶ τὸ «εἰκαστὴς» μετὰ τοῦ «γενησομένου», ὁ δὲ Ῥεϊσκιος συνάπτει τὰς λέξεις ὧδε «τῶν μελλόντων εἰκαστὴς ἐπὶ πλεῖστον τοῦ γενησομένου»=ἦν τῶν μελλόντων πραγμάτων ἄριστος εἰκαστὴς ἐπὶ μακρότατον χρόνον ἐκείνου, ὅπερ ἔμελλε γενέσθαι, τὸ δ' ἐπὶ πλεῖστον μετὰ γενικῆς καὶ ἀλλαχοῦ (Α', 1, 2), ὁ δὲ Κροάζετος τὸ «μελλόντων» ἐξαρτᾷ ἐκ τοῦ «τοῦ γενησομένου», ἡ δὲ φράσις «τῶν μελλόντων τὸ γενησόμενον» = τὸ μέλλον γενήσεσθαι, ὁ δ' Ἐρουερδὴν κρίνει ὕποπτον τὸ «τοῦ γενησομένου». —*τοῦ γενησομένου*]=τοῦ ἑκάστοτε γενησομένου.—*μετὰ χεῖρας ἔχοι*] τὸ ἔχοι καὶ εἴη εἶναι εὐκτικαὶ ἐπὶ ἐπαναλήψεως, τὸ *μετὰ χεῖρας ἔχειν*=ἐν χερσὶν ἔχειν, μεταχειρίζεσθαι,—*ἐξηγήσασθαι*]=ἑρμηνεῦσαι διὰ τοῦ λόγου. —*οὐκ ἀπήλλακτο*]= οὐ διημάρτανε τῆς κρίσεως (Σχολ.)=ὧν δὲ ἄπειρος εἴη (=ὅπερ δὲν ἤθελε γνωρίσῃ διὰ προσωπικῆς αὐτοῦ πείρας=ἃ δὲ μὴ αὐτὸς μετὰ χεῖρας ἔχοι). κρίναι ἱκανῶς οὐκ ἀπηλλαγμένος ἦν (=οὐκ ἦν ξένος, ἀδύνατος). Τὸ δ' *ἀπαλλάσσεσθαι* συνήθως συντάσσεται γενικῇ τοῦ *κρῖναι*. Κακῶς δὲ ὁ Βάδαμος ἀντὶ τοῦ *ἱκανῶς* γράφει *ἱκανῶν*. — *τὸ ἄμεινον ἢ χεῖρον*]=τὸ συνοῖσον ἢ βλαπτικὸν (Σχολ.).

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λιστα· καὶ τὸ ξύμπαν εἰπεῖν, φύσεως μὲν δυνάμει, μελέτης δὲ βραχύτητι κράτιστος δὴ οὗτος αὐτοσχεδιάζειν τὰ δέοντα ἐγένετο. Νοσήσας δὲ τελευτᾷ τὸν 4
βίον· λέγουσι δέ τινες καὶ ἑκούσιον φαρμάκῳ ἀποθανεῖν αὐτόν, ἀδύνατον νομίσαντα εἶναι ἐπιτελέσαι βασιλεῖ ἃ ὑπέσχετο. Μνημεῖον μὲν οὖν αὐτοῦ ἐν Μα- 5
γνησίᾳ ἐστὶ τῇ Ἀσιανῇ ἐν τῇ ἀγορᾷ· ταύτης γὰρ ἦρχε τῆς χώρας, δόντος βασιλέως αὐτῷ Μαγνησίαν μὲν <ἐς> ἄρτον, ἣ προσέφερε πεντήκοντα τάλαντα τοῦ

— ὃν τῷ ἀφανεῖ ἔτι] συναπτέαι αἱ λέξεις αὗται = ἀφανὲς ἔτι ὄν = ἐν ᾧ ἀκόμη ἦν σκοτεινόν, ἀφανές, πρβλ. καὶ «*οὗσα ἐν τῷ ἀφανεῖ πρᾶξαι, ξὺν μεγίστῳ θάρσει ἔπραξεν*» (Ἀρριαν. Ἀναβ. Ζ', κη',3). *Ὡς ἐδήλωσε καὶ ἐπὶ τῶν νεῶν τῆς κτίσεως καὶ ἐπὶ τῆς Σαλαμῖνος καὶ ἀλλαχοῦ* (Σχολ.). *—μάλιστα*] *τῶν ἄλλων δηλονότι* (Σχολ.). *τὸ ξύμπαν εἰπεῖν*] =καθόλου εἰπεῖν, σπάνιον δὲ οὕτω (ὅρα καὶ Ζ', 49, 3. Ἡροδ. Β',91).—*φύσεως δυνάμει*] =φύσεως (συνέσεως) ἰσχύϊ (μικρὸν πρόσθεν).—*μελέτης βραχύτητι*] =προπαρασκευῆς (ἑτοιμασίας) ὀλιγότητι, ταχύτητι. — *δή*] ἐπιτείνει τὸ *κράτιστος*.— *αὐτοσχεδιάζειν*] = *celeriter quae opus erat reperire* (Nep Them. 1,3)· διότι τὸ *αὐτοσχεδιάζειν* σημαίνει παρευθὺς παρασκευάζειν (ἐπινοεῖν) πρᾶξίν τινα ἢ λόγον, καὶ ὁ μὲν Σχολ. λαμβάνει ἐπὶ τοῦ λόγου=*ἑτοίμως λέγειν*, ὁ δὲ Βυττεμβάχιος ἐπὶ τῆς πράξεως (Select. Hist. p. 366).

§ 4. *Νοσήσας*] πρβλ. καὶ Nep. Them. 10, 4. Ἀριστοφ. Ἱππ. 83. κ. ἑ. Πλουτ. Θεμιστ. ΑΑ', 4. Κίμ. ΙΗ'. Διόδωρ. ΙΑ', 58. Cicer. Brut. 11. Max. Valer. V, 6, ὧν οἱ πλεῖστοι παραδέχονται τὸν διὰ πόσεως αἵματος ταύρου θάνατον τοῦ Θεμιστοκλέους.—*λέγουσι δέ τινες καὶ*] τὸ *καὶ* ἀνήκει τῷ *λέγουσι* μετετέθη δὲ πρὸ τῆς βεβαιουμένης πράξεως διὰ τὸ *δὲ*=*τινὲς δὲ καὶ*, *λέγουσιν ἑκούσιον* κτλ., πρβλ. Β',85, 1. Δ', 54,3. Ε', 54,1.—*ἑκούσιον ἀποθανεῖν*] τὸ *ἑκούσιον* κατηγορ. μετ' ἐπιρρ. σημασίας= ὅτι ἀπέθανεν ἑκούσιος (ὅρα Γ. Ζηκίδ. Συντ. § 21 καὶ σημ.). — *φαρμάκῳ*] *αἷμα γὰρ ταύρειον πιὼν ἀπέθανεν* (Σχολ.), πρβλ. Ἀριστοφ. Ἱππ. 83 - 84. Διόδωρ. ΙΑ', 58. Cicer. Brut. 42, Πλουτ. Θεμιστ. ΑΑ', 4. Οὕτω λέγεται ὅτι ἀπέθανε καὶ ὁ *Μίδας* (Πλουτ. Ἠθ. 168, γ'), ὁ *Ταμμήνιτος* (Ἡροδ. Γ', 15) καὶ ὁ *Αἴσων* ὁ πατὴρ τοῦ Ἰάσονος (Ἀπολλοδ. Α', θ', 27). Νομίζεται δὲ ὅτι τὸ ταύρειον αἷμα πήγνυται τάχιστα καὶ διὰ τοῦτο καθίσταται ὀλέθριον τοῖς πίνουσιν (Ἀριστοτ. Ζῷ. Ἱστ. Γ',ιδ',2-3. Plin. Hist. Nat. II,90). —*ἀδύνατον*] ἄρσεν. γένους=ἐπεὶ ἐνόμισεν εἶναι ἀδύνατος.

§ 5 *Μνημεῖον*] = μνῆμα, τάφος (πρβλ. Ε', 11, 1), πρβλ. Πλουτ. Θεμιστ. ΑΒ', 2. —*Μαγνησίᾳ*] πόλις τῆς Καρίας παρὰ τὸν Μαίανδρον ποταμὸν καὶ ἀποικία τῶν ἐν Θεσσαλίᾳ Μαγνήτων (πρβλ. Διόδωρ. ΙΑ', 57, 7. ψ. Θεμίστ. ΙΘ', 53).—*τῇ Ἀσιανῇ*] τὸ ἐπίθετον δὲν ἀρκεῖ εἰς διορισμόν, διότι ὑπῆρχε καὶ ἑτέρα Μαγνησία παρὰ τὸ Σίπυλον ὄρος, πρβλ. δὲ καὶ «*Ἐπίδαυρον τῆς Πελοποννήσου*» (Β', 56, 4), εἰ καὶ δύο ἐν Πελοποννήσῳ *Ἐπίδαυροι* ἦσαν. — *ἐν τῇ ἀγορᾷ*] συμφωνεῖ τῷ Θουκ. ὁ Πλούταρχος (Θεμιστ. ΑΒ', 2), διαφωνεῖ δὲ ὁ Νέπως (Them. 10, 3) λέγων «*sepulcrum prope oppidum*». Οἱ δὲ τάφοι ἐπισήμων ἀνδρῶν ἦσαν συνήθως ἐν τῇ ἀγορᾷ τιμῆς χάριν, ὡς τοῦ *Βρασίδα* ἐν Ἀμφιπόλει (Ε', 11,1), τοῦ *Τιμολέοντος* ἐν Συρακούσαις (Πλούτ. Τιμολ. ΑΘ'), καὶ ἐν γένει ἐν μέρεσιν ὑπὸ πολλῶν συχναζομένοις. — *ἐς ἄρτον*] τὸ *ἐς* προσέθηκεν ὁ Κόβητος καὶ κατωτέρω ἔτι δίς, ὡς αἱ φράσεις αὗται λέγονται παρ' ἀρχαίοις (πρβλ. Ἡροδ. Β', 98. Ξεν. Ἀν. Α'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐνιαυτοῦ, Λάμψακον δὲ <ἐς> οἶνον (ἐδόκει γὰρ πολυοινότατον τῶν τότε εἶναι), Μυοῦντα δὲ <ἐς> ὄψον. Τὰ δὲ ὀστᾶ φασι κομισθῆναι αὐτοῦ οἱ προσήκοντες 6
οἴκαδε κελεύσαντος ἐκείνου καὶ τεθῆναι κρύφα Ἀθηναίων ἐν τῇ Ἀττικῇ· οὐ γὰρ ἐξῆν [θάπτειν] ὡς ἐπὶ προδοσίᾳ φεύγοντος. Τὰ μὲν κατὰ Παυσανίαν τὸν Λακεδαιμόνιον καὶ Θεμιστοκλέα τὸν Ἀθηναῖον, λαμπροτάτους γενομένους τῶν καθ' ἑαυτοὺς Ἑλλήνων, οὕτως ἐτελεύτησεν.

139. Λακεδαιμόνιοι δὲ ἐπὶ μὲν τῆς πρώτης πρεσβείας τοιαῦτα ἐπέταξάν 1
τε καὶ ἀντεκελεύσθησαν περὶ τῶν ἐναγῶν τῆς ἐλάσεως· ὕστερον δὲ φοιτῶντες

δ', 9. Πλουτ. Θεμιστ. ΚΘ', 4. Ἀθήν. Α', 23. Διόδωρ. ΙΑ', 57. Cicer. Verr. III, 33. Πλάτ. Ἀλκ. Α', 123, γ'), μόνον δὲ παρὰ Στράβωνι φέρεται ἄνευ προθέσεως «ταύτην ὄψον λέγεται Θεμιστοκλεῖ δοῦναι Ξέρξης, ἄρτον δὲ Μαγνησίαν, οἶνον δὲ Λάμψακον» (ΙΔ', σ. 636), διάφορον δ' εἶναι τὸ τοῦ Πλάτωνος «ἣν (χώραν) καλεῖν τοὺς ἐπιχωρίους ζώνην τῆς βασιλέως γυναικός· εἶναι δὲ καὶ ἄλλην ἣν αὖ καλεῖσθαι καλύπτραν» (Πλάτ. Ἀλκ. Α', 123, δ'), ἀλλ' ὅμως λέγεται ὀρθῶς «καὶ ἄλλους πολλοὺς τόπους καλοὺς καὶ ἀγαθοὺς εἰς τὸν κόσμον ἐξηρημένους τὸν τῆς γυναικός (αὐτόθ. 123, γ'),=πρὸς τὸ παρέχειν τὴν δαπάνην τὴν διὰ τὸν ἄρτον. —τοῦ ἐνιαυτοῦ]=ἑκάστου ἐνιαυτοῦ.—*Λάμψακον*] πόλιν ἐν τῇ μικρᾷ Ἀσίᾳ ἐπὶ τοῦ Ἑλλησπόντου. —*πολυοινότατον*] πρβλ. σημ. Α', 10, 1.—*Μυοῦντα*] πόλις Ἰωνικὴ ἐν τῇ Καρίᾳ ἐπὶ τοῦ Μαιάνδρου καὶ ἀποικία τῶν Ἀθηναίων ἔχουσα θάλασσαν εὔιχθυν —*ἐς ὄψον*] δὲν σημαίνει ἐνταῦθα τοὺς ἰχθῦς, ὡς παρὰ τοῖς ὕστερον κεῖται ἡ λέξις, ἀλλὰ=προσφάγιον, πρβλ. «ὄψον ἔξουσιν, ἅλας τε δῆλον ὅτι καὶ ἐλάας καὶ τυρὸν καὶ βολβοὺς καὶ λάχανα» (Πλάτ. Πολιτ. 372, γ'). Ὁ δὲ Ἀθήναιος (Α', 23) προστίθησι καὶ δύο ἄλλας πόλεις «Περκώτην καὶ Παλαίσκηψιν εἰς στρωμνὴν καὶ ἱματισμὸν» δοθείσας.

§ 6. *φασὶ . . οἱ προσήκοντες*] αὕτη ἦν ἡ ἐπὶ Θουκυδίδου φήμη καὶ ἦν οἱ συγγενεῖς τοῦ Θεμιστοκλέους ἤθελον νὰ καταστήσωσι πιστευτήν. Κακῶς δὲ ὁ Νέπως ἑρμηνεύει τοῦτο διὰ τοῦ «*ossa ejus clam in Attica ab amicis ejus sepulta*» (Them. 10, 5). πρβλ. καὶ Παυσαν. Α', α', 2. Πλουτ. Θεμιστ. ΛΒ'=οἱ προσήκοντες φασὶ κομισθῆναι τὰ ὀστᾶ αὐτοῦ οἴκαδε.—*αὐτοῦ . . . ἐκείνου*] ἀναφέρονται εἰς τὸ αὐτὸ πρόσωπον (πρβλ. Α', 132, 5), δηλ. τοῦ *Θεμιστοκλέους*.—*οὐ γὰρ ἐξῆν*] δηλ. *τεθῆναι αὐτὰ ἐν τῇ Ἀττικῇ*.—*θάπτειν*] ὠβέλισεν ὁ Κόβητος, διότι δὲν ἀρκεῖ τῇ ἐννοίᾳ. Ἐξῆν μὲν αὐτὸν θάπτειν, οὐκ ἐξῆν δὲ θάπτειν αὐτὸν ἐν τῇ Ἀττικῇ (πρβλ. Ξεν. Ἑλλ. Α', ζ', 22. Λυκοῦρ. Λεωκρ. 113. 115. Μαρκελλ. 55), ὁ δ' Ἐρουερδὴν γράφει «*ἐνθάπτειν*».—*ὡς φεύγοντος*] δηλον αὐτοῦ. Τὸ δὲ ὡς προσετέθη σημαῖνον τὴν κατὰ τὴν ἔννοιαν τοῦ νόμου ἐκφορὰν τα. πράγματος. — *κατὰ Παυσανίαν*] = περὶ Παυσανίαν, τῆς *κατὰ* σημαινούσης ἀναφορὰν (πρβλ, Α', 110, 5).— *λαμπροτάτους*] =ἐπιφανεστάτους, περιφανεστάτους.—*τῶν καθ' ἑαυτοὺς*] ἡ *κατὰ* σημαίνει χρόνον= τῶν συγχρόνων.

Κεφ. 139. *Ἄλλαι προτάσεις τῶν Λακεδαιμονίων καὶ ἐκκλησία Ἀθηναίων πρὸς σύσκεψιν.*

§ 1. *ἐπὶ μὲν τῆς πρώτης πρεσβείας*] ἐπανέρχεται εἰς τὸ Α', 126, 2.—*καὶ ἀντεκελεύσθησαν*]=καὶ ἀντεπετάχθησαν ὑπὸ τῶν Ἀθηναίων. — *περὶ τῶν ἐναγῶν τῆς ἐλάσεως*]=περὶ τῆς ἐλάσεως τῶν ἐναγῶν (πρβλ. Ϛ', 33, 1). — *ὕστερον δὲ*] τὸν χει-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

παρ' Ἀθηναίους Ποτειδαίας τε ἀπανίστασθαι ἐκέλευον καὶ Αἴγιναν αὐτόνομον ἀφιέναι, καὶ μάλιστά γε πάντων καὶ ἐνδηλότατα προύλεγον τὸ περὶ Μεγαρέων ψήφισμα καθελοῦσι μὴ ἂν γενέσθαι πόλεμον, ἐν ᾧ εἴρητο αὐτοὺς μὴ χρῆσθαι τοῖς λιμέσι τοῖς ἐν τῇ Ἀθηναίων ἀρχῇ μηδὲ τῇ Ἀττικῇ ἀγορᾷ· οἱ δ' Ἀθη- 2
ναῖοι οὔτε τἆλλα ὑπήκουον οὔτε τὸ ψήφισμα καθήρουν, ἐπικαλοῦντες ἐπεργασίαν Μεγαρεῦσι τῆς γῆς τῆς ἱερᾶς καὶ τῆς ἀορίστου καὶ ἀνδραπόδων ὑποδοχὴν τῶν ἀφισταμένων. Τέλος δὲ ἀφικομένων τῶν τελευταίων πρέσβεων ἐκ Λακε- 3
δαίμονος, Ῥαμφίου τε καὶ Μελησίππου καὶ Ἀγησάνδρου, καὶ λεγόντων ἄλλο

μῶνα τοῦ 432—431 π. Χ., πρβλ. καὶ Ἀριστοφ. Ἀχ. 652-653.—*Ποτειδαίας*] ἦν ἐπολιόρκουν (πρβλ. Α', 64 κ. ἑ.)=ἀπὸ τῆς Ποτειδαίας ἀνίστασθαι (ἀπιέναι). —*Αἴγιναν αὐτόνομον ἀφιέναι*] πρβλ. Α', 67, 2. —*μάλιστα . . προύλεγον*] πρβλ. Πλούτ. Περικλ. ΚΘ—Λ', ὅστις μεταξὺ τῶν πρέσβεων ὀνομάζει τὸν *Πολυάλκη*, περὶ δὲ τῆς σημασίας τοῦ *προλέγειν* πρβλ. Α', 26, 5. 43, 1. Ζ', 50, 3. — *τὸ περὶ Μεγαρέων ψήφισμα*] ὁρα Α', 67, 4. Πλούτ. Περικλ. ΚΘ'. Ἀριστοφ. Ἀχ. 532. κ. ἑ. Εἰρ. 609 κ. ἑ. Σουΐδ. ἐν λ. *ἀνελεῖν*. Τοῦτο δ' ἔγραψεν ὁ Περικλῆς τὸ θέρος τοῦ 432. —*καθελοῦσι*]=εἰ καθέλοιεν.—*μὴ ἂν γενέσθαι*] ἐπὶ τοῦ εἰδικοῦ ἀπαρεμφάτου τίθεται καὶ τὸ οὐ καὶ τὸ μή=οὐκ ἂν γένοιτο. Τίς δὲ ἡ διαφορὰ τοῦ μετὰ τοῦ οὐ καὶ μὴ εἰδικοῦ ἀπαρεμφάτου ὁρα Ἀσωπ. Εἰσ. εἰς Σύντ. σ. 794, § 61—64. Π. Β', σ. 571, § 50-53. πρβλ. καὶ Ε', 49, 5. Ϛ', 102, 4.—*ἐν ᾧ*] δηλ. *ψηφισμάτι*.—*εἴρητο*] ὁ δὲ Ναθὴρ γράφει «*ἀπείρητον*».

§ 2. *τἆλλα ὑπήκουον*] δηλ. *τοῖς Λακεδαιμονίοις* (Σχολ.). πρβλ. Α', 26, 3.—*ἐπικαλοῦντες*] *ἀντὶ τοῦ ἐγκαλοῦντες*(Σχολ.), πρβλ. Β', 27, 1. Δ', 23, 1 133, 1.—*ἐπεργασίαν*] ὁ Σχολ. καὶ ἄλλοι νομίζουσιν ὅτι ἡ ἐπὶ περιττεύει καὶ ἡ λέξις σημαίνει σχεδὸν ὅ,τι καὶ ἡ λέξις *ἐργασία* (πρβλ. Ellend. εἰς Ἀρριαν. Ἀν. Ϛ', ιζ', 10). ἄλλοι δὲ ὅτι ἡ ἐπὶ σημαίνει ἐπέκτασιν ἐργασίας πέραν τῶν ὁρίων (Κλασσήνιος), φαίνεται δὲ μᾶλλον ὅτι ἡ ἐπὶ ἐν τῷ *ἐπεργάζομαι* καὶ *ἐπεργασία* σημαίνει τὸ ἐναντίον (παρὰ τὸν νόμον), πρβλ. *ἐπίορκος, ἐπιορκῶ*, κτλ.—*τῆς γῆς τῆς ἱερᾶς καὶ τῆς ἀορίστου*] *τὴν γῆν λέγει τὴν μεταξὺ Μεγάρων καὶ Ἀττικῆς ἥντινα ἀνέθεσαν ταῖς Ἐλευσινίαις θεαῖς· τὴν αὐτὴν δὲ λέγει καὶ ἀόριστον· ἀόριστος δέ ἐστιν ἡ μὴ ἔχουσα ὅρους μηδὲ σπειρομένη· ἡ γὰρ σπειρομένη ὅρους ἔχει, ἅτε οὖσα μεμερισμένη* (Σχολ.). Ὁ Σχολ., ὡς φαίνεται, ἀνέγνω μόνον «καὶ ἀορίστου» ἄνευ τοῦ ἄρθρου καθ' ἣν ἑρμηνείαν ποιεῖται. Ἐνταῦθα ἀνάγκη νὰ διακρίνωνται εἰς γῆν ἱερὰν ἀφιερωμένην ταῖς Ἐλευσινίαις θεαῖς, ἥτις καὶ ὀργὰς ἐκαλεῖτο (πρβλ. Φώτ. εἰς Βιβλιοθ. σ. 534, 12. Ἁρποκρ. ἐν λ. *Ἀνθεμόκριτος*), καὶ εἰς γῆν μὴ ἱερὰν καὶ μὴ ὡρισμένην δι' ὁρίων μεταξὺ δὲ Ἀθηναίων καὶ Μεγαρέων ἀμφισβητουμένην, ἣν ἐνταῦθα καλεῖ *ἀόριστον*. — *καὶ ἀνδραπόδων ὑποδοχήν*] *ὅτι δούλους τοὺς ἀποφεύγοντας ἐδέχοντο* (Σχολ.). Δὲν πρόκειται ἐνταῦθα περὶ δούλων τῆς Ἀσπασίας (πρβλ. Ἀριστοφ. Ἀχ. 525. κ. ἑ. Πλούτ. Περικλ. Λ'), ἀλλὰ γενικῶς περὶ δούλων τῶν Ἀθηναίων (πρβλ. Ζ', 27, 5). Πλὴν δὲ τούτου κυρία αἰτία ἦν ὁ ὑπὸ τῶν Μεγαρέων φόνος τοῦ κήρυκος τῶν Ἀθηναίων *Ἀνθεμοκρίτου* (πρβλ. Παυσαν. Α', λς', 3. Πλουτ. Περικλ. Α'. Ἁρποκρ. ἐν λ. *Ἀνθεμόκριτος*). — *τῶν ἀφισταμένων*] =τῶν ἀποφευγόντων.

§ 3. *Τέλος δὲ*] ταῦτα μέχρι τοῦ *ἀφεῖτε* φέρονται καὶ παρὰ τῷ Δοξαπ. Β', σ. 115 ἔκδ. Walz. — *Ῥαμφίου*] οὗτος ἦν πατὴρ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μὲν οὐδὲν ὧν πρότερον εἰώθεσαν, αὐτὰ δὲ τάδε ὅτι «Λακεδαιμόνιοι βούλονται τὴν εἰρήνην εἶναι, εἴη δ' ἄν, εἰ τοὺς Ἕλληνας αὐτονόμους ἀφεῖτε», ποιήσαντες ἐκκλησίαν οἱ Ἀθηναῖοι γνώμας σφίσιν αὐτοῖς προυτίθεσαν, καὶ ἐδόκει ἅπαξ περὶ ἁπάντων βουλευσαμένους ἀποκρίνασθαι. Καὶ παριόντες ἄλλοι τε πολλοὶ ἔλεγον, 4
ἐπ' ἀμφότερα γιγνόμενοι ταῖς γνώμαις καὶ ὡς χρὴ πολεμεῖν καὶ ὡς μὴ ἐμπόδιον εἶναι τὸ ψήφισμα εἰρήνης, ἀλλὰ καθελεῖν, καὶ παρελθὼν Περικλῆς ὁ Ξανθίππου, ἀνὴρ κατ' ἐκεῖνον τὸν χρόνον πρῶτος Ἀθηναίων, λέγειν τε καὶ πράσσειν δυνατώτατος, παρήνει τοιάδε.

140. «Τῆς μὲν γνώμης, ὦ Ἀθηναῖοι, αἰεὶ τῆς αὐτῆς ἔχομαι μὴ εἴκειν 1
Πελοποννησίοις, καίπερ εἰδὼς τοὺς ἀνθρώπους οὐ τῇ αὐτῇ ὀργῇ ἀναπειθομέ-

τοῦ Κλεάρχου (Η', 8,2.39, 2,80,1), πρβλ. Ε', 12, 13, 1. 14,1.—*Μελησίππου*] πρβλ. Β', 12, 1. — *Ἀγησάνδρου*] οὗτος φαίνεται ἦν πατὴρ τοῦ Ἀγησανδρίδου (πρβλ. Η', 91, 2). —*ἄλλο μὲν οὐδέν*] *εἶον περὶ τῆς Ποτειδαίας καὶ τῶν ἄλλων* (Σχολ.).—*ὧν πρότερον εἰώθεσαν*] δηλ. *λέγειν*. —*αὐτὰ δὲ τάδε*] τὸ *αὐτὰ*=μόνα (πρβλ. Ε', 60,1. Ϛ', 37, 1).—*ὅτι*] πρβλ. σημ. Α', 137, 4. —*εἴη δ' ἄν*] δηλ. *ἡ εἰρήνη*.—*ποιήσαντες ἐκκλησίαν*] πρβλ. Α', 67, 3=συγκαλέσαντες ἐκκλησίαν.—*γνώμας προυτίθεσαν*] τὸ *γνώμας* (καὶ *τὴν γνώμην*) *προτιθέναι τινί* (=ἐπιτρέπειν τινὶ ἐκφράσαι γνώμην) λέγεται περὶ τῶν ἀρχόντων (πρβλ. Γ', 36, 5.42,1.Ϛ',14,1), τῶν πρυτάνεων καὶ προέδρων (Ἰσοκρ. 8, 15), οἵτινες καὶ προέγραφον πρὸ τῆς βουλῆς καὶ πρὸ τῆς ἐκκλησίας ὑπὲρ ὧν δεῖ χρηματίζειν (Πολυδ. Η', 95), ἐνταῦθα δὲ λέγεται περὶ ὅλων τῶν Ἀθηναίων (πρβλ. Δημ. 18, 236) ἀντὶ τῶν ἀρχόντων, ὡς ἀλλαχοῦ περὶ τῆς πόλεως (Ξεν. Ἀπ. Δ',6',3. Δημ. 18,273). —*ἅπαξ*] ἅπαξ διὰ παντός.

§ 4. *παριόντες*] = ἀναβαίνοντες ἐπὶ τὸ βῆμα. — *ἐπ' ἀμφότερα γιγνόμενοι ταῖς γνώμαις*]=εἰς ἑκάτερον μέρος διαιρούμενοι ταῖς γνώμαις, εἰς ἀμφοτέρας τὰς γνώμας τὰς ἀντιθέτους ταττόμενοι δηλ. τῆς παραδοχῆς καὶ τῆς μὴ παραδοχῆς τῶν προτάσεων τῶν Λακεδαιμονίων. Τὸ δὲ *γιγνεσθαι*=εἶναι, καταντᾶν (πρβλ. Α', 64, 1). Τὸ δ' *ἐπ' ἀμφότερα* διασαφεῖται διὰ τῶν ἑπομένων.—*καὶ ὡς μή*]=*καὶ ὡς χρὴ μή*. — *τὸ ψήφισμα*] δηλ. *τὸ περὶ Μεγαρέων*. —*εἰρήνης*] ἐκ τοῦ *ἐμπόδιον* ἐξαρτᾶται.—*ἀλλὰ καθελεῖν*] δηλ. *αὐτὸ χρή, ἀλλ' ὁ* Κόδητος ὀβελίζει τὸ «*ἀλλὰ καθελεῖν*» ὡς ὄντως ἐκ τῆς ἀρχῆς τοῦ κεφαλαίου.—*καὶ παρελθὼν*] ὁ καὶ ἀποδίδοται εἰς τὸν τὲ τὸν ἐν τῷ «*ἄλλοι τε πολλοί*», — *ἀνὴρ... πρῶτος*] ὅρα περὶ αὐτοῦ πλείονα (Β',65).—*λέγειν τε καὶ πράσσειν δυνατώτατος*] παράθεσις εἰς τὸ «*πρῶτος Ἀθηναίων*».—*δυνατώτατος*] ὅρα Α',127,3.

Κεφ. 140. *Δημηγορία Περικλέους, ἣν ἐπαινεῖ καὶ θαυμάζει Διονύσιος ὁ Ἁλικαρνασσεὺς* (σ. 320) *καὶ ὁ Ἀριστείδης* (Γ', σ. 226). *Οἱ Λακεδαιμόνιοι θέλουσι τὸν πόλεμον καὶ ὑποχωροῦντες δὲ οἱ Ἀθηναῖοι αὐτοῖς δὲν δύνανται νὰ ἀποφύγωσι τοῦτον.*

§ 1. *Τῆς γνώμης... τῆς αὐτῆς ἔχομαι*] =ἐμμένω τῇ αὐτῇ γνώμῃ, πρβλ. καὶ Α', 127, 3 καὶ Γ', 38,1. Τὸ δὲ μέσον *ἔχομαι* =ἔχω ἐμαυτόν τινος, λαμβάνομαι τινος (κοινῶς *πιάνομαι ἀπό τινος*).—*μὴ εἴκειν*] ἐπεξήγησις τοῦ *γνώμης*».—*τῇ αὐτῇ ὀργῇ*] =ζήλῳ, προθυμίᾳ (πρβλ. Β',11,7. Ε'70, 1), πρβλ. Α', 120,5 καὶ «*ἄρχόμενοι γὰρ πάντες δεύτερον ἀντιλαμβάνονται*» (Β', 8, 1).— *ἀναπειθομένους*] =μεταπειθομέ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νους τε πολεμεῖν καὶ ἐν τῷ ἔργῳ πράσσοντας, πρὸς δὲ τὰς ξυμφορὰς καὶ τὰς γνώμας τρεπομένους. Ὁρῶ δὲ καὶ νῦν ὁμοῖα καὶ παραπλήσια ξυμβουλευτέα μοι ὄντα, καὶ τοὺς ἀναπειθομένους ὑμῶν δικαιῶ τοῖς κοινῇ δόξασιν, ἢν ἄρα τι καὶ σφαλλώμεθα, βοηθεῖν, ἢ μηδὲ κατορθοῦντας τῆς ξυνέσεως μεταποιεῖσθαι. Ἐνδέχεται γὰρ τὰς ξυμφορὰς τῶν πραγμάτων οὐχ ἧσσον ἀμαθῶς χωρῆσαι ἢ καὶ

νους (Α', 84, 2), πειθομένους ἀντὶ τῆς εἰρήνης ἀναλαβεῖν τὸν πόλεμον.—*καὶ ἐν τῷ ἔργῳ πράσσοντας*]=ἐν τῇ διεξαγωγῇ αὐτοῦ ἐνεργοῦσι μετ' ὀλιγωτέρου ζήλου (προθυμίας), *ἔργον δὲ*=ἡ πρᾶξις, τὸ πολεμεῖν (πρβλ. Α', 120, 5).—*πρὸς δὲ τὰς ξυμφορὰς*]=*πρὸς τὰ συμβαίνοντα* (Σχολ.), πρὸς τὰς ἐκβάσεις, πρὸς τὰς συντυχίας (πρβλ. Σοφοκλ. Οἰδ. Τ. 44), τὴν αὐτὴν δὲ σημασίαν ἔχει καὶ μικρὸν ὄπισθεν «*τὰς ξυμφορὰς τῶν πραγμάτων*». Ἡ δὲ λέξις συμφορὰ παρὰ τὸ μέσ. *συμφέρομαι* (=συμβαίνω, συμβαδίζω) σημαίνει καθόλου σύμβαμα καλὸν ἢ κακόν (μέση λέξις), ἡ δὲ πρὸς σημαίνει συμφωνίαν=κατά.—*καὶ τὰς γνώμας τρεπομένους*]=*μεταβαλλομένους* (Σχολ.) μετὰ παθητικ. διαθέσεως, τὸ δὲ γνώμας εἶναι αἰτιατ. τῆς ἀναφορᾶς, πρβλ. «*ἠλλοίωντο τὰς γνώμας*» (Β', 59, 1) καὶ «*ἀλλοιότεροι ἐγένοντο τὰς γνώμας*» (Δ', 106, 1). Ὅρα Γ. Ζηκίδ. Συντακτ. § 96. Γραμμ. Κυννήρ. § 410, 6. Τοιαύτην δὲ μεταβολὴν γνωμῶν ὑπέστησαν καὶ οἱ Ἀθηναῖοι ἀρξαμένου τοῦ πολέμου (Β', 59, 1, 61, 2). — *ὁμοῖα καὶ παραπλήσια*] τὰ συνώνυμα ἐπίθετα, ὄντα σύστοιχα ἀντικείμενα τοῦ *ξυμβουλευτέα*, χρησιμεύουσι πρὸς τόνωσιν τῆς ἐννοίας (πρβλ. Ἰσοκρ. 7, 78. Δημ. 3, 27), πρβλ. Α', 27, 1. 143, 3.=ὅτι δέον ἐστί μοι ξυμβουλεύειν ὁμοίας καὶ παραπλησίας ξυμβουλάς.—*τοὺς ἀναπειθομένους ὑμῶν*] ὅηλ. *πολεμεῖν* (πρβλ. Α', 84, 2).—*δικαιῶ*] ἡ λέξις σπανία παρὰ τοῖς ἄλλοις τῶν Ἀττικῶν πεζολόγων, πολλάκις δὲ ὁ Θουκυδ. χρῆται αὐτῇ ὡς συνωνύμῳ τοῦ ἀξιῶ (=κρίνω δίκαιον, ἄξιον).—*τοῖς κοινῇ δόξασιν*]=τούτοις, ἃ ἂν κοινῇ δόξῃ. Εἶναι δὲ γένους οὐδετ.=τὰ κοινῇ δόξαντα (quae publice visa fuerint). — *ἢν ἄρα τι καὶ σφαλλώμεθα*]=ἐὰν ἴσως κατά τι (πως) καὶ ἀποτυγχάνωμεν ἡμεῖς (οἱ Ἀθηναῖοι), οὐ ἀντίθετον τὸ «*κατορθοῦντας*», διὰ δὲ τοῦ «*ἄρα τι καὶ*» πειρᾶται νὰ ἀποδείξῃ ὀλίγον πιθανὴν τὴν περίστασιν τῆς ἀποτυχίας.—*βοηθεῖν*] *καὶ μὴ ἐκ τοῦ ἐναντίου ἀπολιγωρεῖν τὸν πόλεμον μηδὲ τὸν συμβουλεύσαντα αἰτιᾶσθαι* (Σχολ.), τὸ δὲ *βοηθεῖν*=ὑποστηρίζειν (πρβλ. Α', 123, 1).—*ἢ*]=εἰ δὲ μή (πρβλ. Α', 121, 5).—*μηδὲ... μεταποιεῖσθαι τῆς ξυνέσεως*]=μηδὲ νὰ οἰκειοποιῶνται εἰς ἑαυτοὺς τὴν σύνεσιν (τὸν τῆς συνέσεως ἔπαινον), ἐὰν εὐτυχῶς τὰ πράγματα πράττωσι (διεξάγωσιν εὐτυχῶς τὰ πράγματα). Περὶ τοῦ *μεταποιεῖσθαί τινος* ὅρα Α', 28, 2. Β', 51, 5.—*κατορθοῦντας*]=ἐὰν κατορθῶσιν (οἱ ἀναπειθόμενοι). Ἀντὶ τοῦ γενικοῦ ὑποκειμ. *ἡμᾶς*, δι' ὃ ὤφειλε νὰ εἴπῃ «*κατορθούντων ἡμῶν*», ὅπερ ὡς καὶ ἐν τῷ ἀντιθέτῳ «*ἢν σφαλλώμεθα*» ἂν ἀνεφέρετο εἰς πάντας τοὺς Ἀθηναίους, μετεχειρίσατο ὑποκείμενον τὸ «*τοὺς ἀναπειθομένους ὑμῶν*». Περὶ τῆς ἐννοίας πρβλ. «*δι' αὐτὴν (τὴν νόσον) οἶδ' ὅτι... μισοῦμαι, οὐ δικαίως, εἰμὴ καὶ ὅταν παρὰ λόγον τι εὖ πράξητε ὑμεῖ ἀναθῆσετε*» (Β', 64, 1).—*τῆς ξυνέσεως*]=τοῦ ξυνετοὶ γεγονέναι τῶν *μελλόντων*, τοῦ τὰ *μέλλοντα προσορακέναι* (Κροάζετος). — *ἐνδέχεται γὰρ*] ἑρμηνεύεται διὰ τί δύνανται *τοῖς κοινῇ δόξασι βοηθοῦντές τι καὶ σφάλλεσθαι*.—*τὰς συμφορὰς*]=*τὰς ἀποβάσεις* (Σχολ.).—*ἀμαθῶς*] μετὰ παθητ. σημασίας=ὥστε νὰ μὴ δύνωνται νὰ προγινώσκωνται, νὰ προβλέπωνται=ἀπροσδοκήτως, ἀκαταλήπτως. Πολλάκις πολλὰ ἐπιρρήματα κεῖνται προληπτικῶς ἰσοδυνα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὰς διανοίας τοῦ ἀνθρώπου· διόπερ καὶ τὴν τύχην, ὅσα ἂν παρὰ λόγον ξυμβῇ, εἰώθαμεν αἰτιᾶσθαι. Λακεδαιμόνιοι δὲ πρότερόν τε δῆλοι ἦσαν ἐπιβουλεύοντες 2
ἡμῖν καὶ νῦν οὐχ ἥκιστα. Εἰρημένον γὰρ δίκας μὲν τῶν διαφόρων ἀλλήλοις διδόναι καὶ δέχεσθαι, ἔχειν δὲ ἑκατέρους ἃ ἔχομεν, οὔτε αὐτοὶ δίκας πω ἤτησαν οὔτε ἡμῶν διδόντων δέχονται, βούλονται δὲ πολέμῳ μᾶλλον ἢ λόγοις τὰ ἐγκλήματα διαλύεσθαι, καὶ ἐπιτάσσοντες ἤδη καὶ οὐκέτι αἰτιώμενοι πάρεισιν.
Ποτειδαίας τε γὰρ ἀπανίστασθαι κελεύουσι καὶ Αἴγιναν αὐτόνομον ἀφιέναι καὶ 3
τὸ Μεγαρέων ψήφισμα καθαιρεῖν· οἱ δὲ τελευταῖοι οἵδε ἥκοντες καὶ τοὺς Ἕλλη-

μοῦντα πρὸς συμπερασματικὴν πρότασιν (Γραμμ. Κυννήρ. § 497,5).—*τὰς διανοίας*] =τὰ σχέδια (πρβλ. Α', 144,1).—*τοῦ ἀνθρώπου*] κεῖται ἀσυνήθως ἀντὶ τοῦ «τῶν ἀνθρώπων» (πρβλ. καὶ Γ',39,5), ὁ δὲ Ναβῆρος γράφει «τοῦ ἀνθρωπείου» (πρβλ. Δ',61,5). Σημαίνει δὲ ὅτι «ἡ ἐκ τῆς τύχης ἐξαρτωμένη ἔκβασις τῶν πραγμάτων ἐμπερικλείει τοσαῦτα ἀπρόοπτα, ὅσα ἡ ἐλευθερία τῆς ἀνθρωπίνης διανοίας δὲν δύναται νὰ προΐδῃ.—*παρὰ λόγον*]=παρὰ προσδοκίαν, ἀμαθῶς.

